Θῆτα. θεῶν ἀγορή· Τρώων κράτος· Ἕκτορος εὖχος.

[illegible]


πρὶν πιέειν, πρὶν λεῖψαι ὑπερμενέϊ Κρονίωνι·
κοιμήσαντ' ἄρ' ἔπειτα καὶ ὕπνου δῶρον ἕλοντο.

παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀριστάρχου διορθώσεως· τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τῶν Νικάνορος περὶ στιγμῆς:–

ΙΛΙΑΔΟΣ Θ

Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν·
Ζεὺς δὲ θεῶν ἀγορὴν ποιήσατο τερπικέραυνος
ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο·
αὐτὸς δέ σφ' ἀγόρευε θεοὶ δ' ὑπὸ πάντες ἄκουον·
κέκλυτέ μευ πάντες τε θεοὶ πᾶσαί τε θέαιναι·
μήτέ τις οὖν θήλεια θεὸς τό γε μήτέ τις ἄρσην
πειράτω διακέρσαι ἐμὸν ἔπος· ἀλλ' ἅμα πάντες
αἰνεῖτ', ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα.
ὃν δ' ἂν ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήσω
ἐλθόντ' ἢ Τρώεσσιν ἀρηγέμεν ἢ Δαναοῖσι·
πληγεὶς οὐ κατὰ κόσμον ἐλεύσεται Οὔλυμπόνδε·
ἤ μιν ἑλὼν ῥίψω ἐς Τάρταρον ἠερόεντα
τῆλε μάλ', ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον·
ἔνθα σιδήρειαί τε πύλαι καὶ χάλκεος οὐδός·

[illegible]



[illegible]

\> τόσσον ἔνερθ' ἀΐδεω ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης·
γνώσετ' ἔπειθ' ὅσον εἰμὶ θεῶν κάρτιστος ἁπάντων.
εἰ δ' ἄγε πειρήσασθε θεοὶ ἵνα εἴδετε πάντες·
\> σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες·
πάντες δ' ἐξάπτεσθε θεοὶ πᾶσαί τε θέαιναι·
ἀλλ' οὐκ ἂν ἐρύσαιτ' ἐξ οὐρανόθεν πεδίονδε
Ζῆν' ὕπατον μήστωρ', οὐδ' εἰ μάλα πολλὰ κάμοιτε.
ἀλλ' ὅτε δὴ καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι·
αὐτῇ κεν γαίῃ ἐρύσαιμ' αὐτῇ τε θαλάσσῃ·
※ σειρὴν μέν κεν ἔπειτα περὶ ῥίον οὐλύμποιο
※ δησαίμην, τὰ δέ κ' αὖτε μετήορα πάντα γένοιτο·
τόσσον ἐγὼ περί τ' εἰμὶ θεῶν, περί τ' εἴμ' ἀνθρώπων.
※— ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
※— μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσεν·
※— ὀψὲ δὲ δὴ μετέειπε θεὰ γλαυκῶπις ἀθήνη·
※— ὦ πάτερ ἡμέτερε Κρονίδη ὕπατε κρειόντων,
※— εὖ νυ καὶ ἡμεῖς ἴδμεν, ὅ τοι σθένος οὐκ ἐπιεικτόν·
※— ἀλλ' ἔμπης Δαναῶν ὀλοφυρόμεθ' αἰχμητάων.
※— οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται·
— ἀλλ' ἤτοι πολέμου μὲν ἀφεξόμεθ', ὡς σὺ κελεύεις·
— βουλὴν δ' ἀργείοις ὑποθησόμεθ', ἥ τις ὀνήσει·
— ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεοῖο.
— τὴν δ' ἐπιμειδήσας προσέφη νεφεληγερέτα Ζεύς·
※— θάρσει Τριτογένεια φίλον τέκος· οὔ νύ τι θυμῷ
※— πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι·

[illegible]

χρυσὸν δ' αὐτὸς ἔδυνε: ὅτι ἀντὶ τῆς χρυσῆς πανοπλίας· καὶ ὅτι ἐνθάδε λαμβάνουσι τὸ δῖος ἀνειληφέναι τὴν ἰδίαν πανοπλίαν οὐκέτι ἐξ ἧς ἀναχωρεῖ τὴν αὐτὴν ταύτην πανοπλίαν ἀνειληφέναι τὰ θήματα [illegible] ὅτι τὸ γέντο εἰς τὸ [illegible] φράζομεν [illegible] τεταγμένον ἀντὶ τοῦ ἔλαβεν:— μεσσηγὺς γαίης τε: ὅτι οὐδ' ὅσον εἶπεν μεσσηγὺς γαίης καὶ ὀλύμπου [illegible] οὐδὲ τὸν ὄλυμπον ἀστερόεντα διαφθείρει γὰρ κατ' αὐτὸν ὁ ὄλυμπος τοῦ οὐρανοῦ:—

Ἴδην δ' ἵκανεν: προσθεὶς ἰδιότητα τῆς φράσεως ἀντὶ τοῦ τῆς Ἴδης εἰς Γάργαρον ἦλθεν· προτάξας γὰρ τὸ γενικὸν τὸ εἰδικὸν ἐπήνεγκεν· μέρος γὰρ τῆς Ἴδης ἄκρα ἐστὶ καὶ τὸ Γάργαρον:—

Γάργαρον: τὸ ἀκρωτήριον τῆς Ἴδης ἤτοι ἀπὸ τοῦ γαργαρίζειν καὶ ἀναδίδοσθαι τὰ ὕδατα, ἢ ἀπὸ μεταφορᾶς τοῦ ἐν τοῖς στόμασι μήκους γαργαρεῶνος τῆς λεγομένης σταφυλῆς· ὥσπερ γὰρ τὸ σῶμα τοῦτο ἀπὸ πλάτους εἰς λεπτὸν καὶ ὀξὺ λήγει· τρία δ' εἰσὶν ἀκρωτήρια τῆς Ἴδης· Λεκτὸν, Γάργαρον, Φαλάκρη· τούτου μνημονεύει Καλλίμαχος ἐν πρώτῳ αἰτίων:—

ὣς εἰπὼν ὑπ' ὄχεσφι τιτύσκετο χαλκόποδ' ἵππω
ὠκυπέτα, χρυσέῃσιν ἐθείρῃσιν κομόωντε.
χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ, γέντο δ' ἱμάσθλην
χρυσείην εὔτυκτον, ἑοῦ δ' ἐπεβήσετο δίφρου·
μάστιξεν δ' ἐλάαν, τὼ δ' οὐκ ἀέκοντε πετέσθην
μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος·
Ἴδην δ' ἵκανεν πολυπίδακα, μητέρα θηρῶν,
Γάργαρον, ἔνθα δέ οἱ τέμενος, βωμός τε θυήεις·
ἔνθ' ἵππους ἔστησε πατὴρ ἀνδρῶν τε θεῶν τε
λύσας ἐξ ὀχέων, κατὰ δ' ἠέρα πουλὺν ἔχευεν,
αὐτὸς δ' ἐν κορυφῇσι καθέζετο κύδεϊ γαίων,
εἰσορόων Τρώων τε πόλιν καὶ νῆας Ἀχαιῶν.
οἱ δ' ἄρα δεῖπνον ἕλοντο κάρη κομόωντες Ἀχαιοὶ
ῥίμφα κατὰ κλισίας, ἀπὸ δ' αὐτοῦ θωρήσσοντο·
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἀνὰ πτόλιν ὁπλίζοντο
παυρότεροι· μέμασαν δὲ καὶ ὣς ὑσμῖνι μάχεσθαι
χρειοῖ ἀναγκαίῃ, πρό τε παίδων καὶ πρὸ γυναικῶν.
πᾶσαι δ' ὠΐγνυντο πύλαι, ἐκ δ' ἔσσυτο λαός,
πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
οἱ δ' ὅτε δή ῥ' ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο,
σύν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα καὶ μένε' ἀνδρῶν
χαλκεοθωρήκων· ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
ἔπληντ' ἀλλήλῃσι, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν
ὀλλύντων τε καὶ ὀλλυμένων, ῥέε δ' αἵματι γαῖα.

οἱ δ' ἄρα δεῖπνον ἕλοντο: ὅτι πρὸ τοῦ τὸ ἄριστον ἀντιτίθησι Ζηνόδοτος. τὸ δὲ σημαινόμενον τοῦ λόγου οὗτός ἐστιν· ἡμέρας ἐν τάσσεσθαι [illegible] ἐποιοῦντο· οἱ Ἀχαιοὶ δεῖπνον εἶλον:

ἀπὸ δ' αὐτοῦ θωρήσσοντο: ἐξ ὁπλίζοντο καὶ ἀνεγράμματον [illegible] ὅπλα [illegible] τινὲς γράφουσι τοὶ δ' αὐτόθι θωρήσσοντο:—

παυρότεροι: ὅτι ἐλάσσονες [illegible] προσεικεῖ μετὰ [illegible] πολλοὶ ἐκ πολλῶν ἐπίκουροι ἀνδρῶν· καὶ [illegible] γράφονται μυριάδες ἐν πεδίῳ:—

πᾶσαι δ' ὠΐγνυντο πύλαι: ὅτι μία ἐστὶ [illegible] καὶ πληθυντικῶς εἶπε πύλαι· τὸ δὲ πᾶσαι ἀντὶ τοῦ ὅλαι· [illegible] πάντα μὲ κατανοῦν:—

χαλκεοθωρήκων: ὅτι ταυτὸν ἐξ [illegible] προεῖπον γὰρ ῥινούς [illegible] αὐτὰρ ἀσπίδες ὀμφαλόεσσαι ἐξ ἀμφοτέρων ταῦτα σημαίνων.

ῥέε δ' αἵματι γαῖα: ὅτι ἀντὶ τοῦ ἐρρεῖτο [illegible] καὶ ὅτι πρόσω τὸ δεύτερον πρότερον ἀπήντηκεν:—

τὸ ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ· [illegible]
ἀέξετο· αὔξησιν ἐλάμβανεν [illegible]
ἦμος δ' ἠέλιος μέσον οὐρανὸν [illegible]
[illegible] τάλαντα· [illegible]
ἐν δ' ἐτίθει δύο κῆρε· μίαν ὑπὲρ ἑκατέρου στρατεύματος [illegible]
[illegible]

ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ,
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πῖπτε δὲ λαός.
ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα·
ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο,
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων,
ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ' αἴσιμον ἦμαρ Ἀχαιῶν.
αἱ μὲν Ἀχαιῶν κῆρες ἐπὶ χθονὶ πουλυβοτείρῃ
ἑζέσθην, Τρώων δὲ πρὸς οὐρανὸν εὐρὺν ἄερθεν·
αὐτὸς δ' ἐξ Ἴδης μεγάλ' ἔκτυπε, δαιόμενον δὲ
ἧκε σέλας μετὰ λαὸν Ἀχαιῶν· οἱ δὲ ἰδόντες
θάμβησαν, καὶ πάντας ὑπὸ χλωρὸν δέος εἷλεν.
ἔνθ' οὔτ' Ἰδομενεὺς τλῆ μίμνειν οὔτ' Ἀγαμέμνων,
οὔτε δύ' Αἴαντες μενέτην θεράποντες Ἄρηος·
Νέστωρ οἶος ἔμιμνε Γερήνιος, οὖρος Ἀχαιῶν,
οὔ τι ἑκών, ἀλλ' ἵππος ἐτείρετο, τὸν βάλεν ἰῷ
δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠϋκόμοιο,
ἄκρην κὰκ κορυφήν, ὅθι τε πρῶται τρίχες ἵππων
κρανίῳ ἐμπεφύασι, μάλιστα δὲ καίριόν ἐστιν.
ἀλγήσας δ' ἀνέπαλτο, βέλος δ' εἰς ἐγκέφαλον δῦ,
σὺν δ' ἵππους ἐτάραξε κυλινδόμενος περὶ χαλκῷ.
ὄφρ' ὁ γέρων ἵπποιο παρηορίας ἀπέταμνε
φασγάνῳ ἀΐσσων, τόφρ' Ἕκτορος ὠκέες ἵπποι
ἦλθον ἀν' ἰωχμὸν θρασὺν ἡνίοχον φορέοντες
Ἕκτορα· καὶ νύ κεν ἔνθ' ὁ γέρων ἀπὸ θυμὸν ὄλεσσεν,

[Marginal notes (left): ἐν ἐνίοις ... ἑζέσθην; ἐν τισι ... ; ... ; ... Ἕκτορα ἡνίοχον ...]

[Marginal notes (right): [illegible] ... καίριον ... παρηορίας ... ἀπέταμνε ... [illegible]]

[illegible]

πολυμήχαν' ὀδ(υσσεῦ): [illegible]

γεωργὸς · [illegible]
κυβερνήτης · [illegible]
τέκτων · [illegible]
ναυπηγὸς · [illegible]
κυνηγὸς · [illegible]
μάντις · [illegible]
μάγειρος · [illegible]
ἰατρὸς · [illegible]
μουσικὸς · [illegible]
ποιητὴς · [illegible]
παλαιστὴς · [illegible]
[illegible]
τοξότης · [illegible]
ἀκοντιστὴς · [illegible]
ῥήτωρ [illegible]

πῆ φεύγεις: [illegible]

ὣς ἔφατ' οὐδ' ἐσάκουσεν: [illegible]

ἠπεδανὸς: [illegible]

οἷοι τρώϊοι ἵπποι: [illegible]

κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι: [illegible]

εἰ μὴ ἄρ' ὀξὺ νόησε βοὴν ἀγαθὸς διομήδης·
σμερδαλέον δ' ἐβόησεν ἐποτρύνων ὀδυσῆα·
διογενὲς λαερτιάδη πολυμήχαν' ὀδυσσεῦ·
πῆ φεύγεις μετὰ νῶτα βαλὼν κακὸς ὣς ἐν ὁμίλῳ·
μή τίς τοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξῃ·
ἀλλὰ μέν' ὄφρα γέροντος ἀπώσομεν ἄγριον ἄνδρα·
ὣς ἔφατ', οὐδ' ἐσάκουσε πολύτλας δῖος ὀδυσσεύς·
ἀλλὰ παρήϊξεν κοίλας ἐπὶ νῆας ἀχαιῶν·
τυδείδης δ' αὐτός περ ἐὼν προμάχοισιν ἐμίχθη·
στῆ δὲ πρόσθ' ἵππων νηληϊάδαο γέροντος·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
ὦ γέρον ἦ μάλα δή σε νέοι τείρουσι μαχηταί·
σὴ δὲ βίη λέλυται· χαλεπὸν δέ σε γῆρας ὀπάζει·
ἠπεδανὸς δέ νύ τοι θεράπων, βραδέες δέ τοι ἵπποι·
ἀλλ' ἄγ' ἐμῶν ὀχέων ἐπιβήσεο· ὄφρα ἴδηαι
οἷοι τρώϊοι ἵπποι ἐπιστάμενοι πεδίοιο
κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι·
οὕς ποτ' ἀπ' αἰνείαν ἑλόμην, μήστωρε φόβοιο·
τούτω μὲν θεράποντε κομείτων· τώδε δὲ νῶϊ
τρωσὶν ἐφ' ἱπποδάμοις ἰθύνομεν· ὄφρα καὶ ἕκτωρ
εἴσεται εἰ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσιν·
ὣς ἔφατ'· οὐδ' ἀπίθησε γερήνιος ἱππότα νέστωρ·
νεστορέας μὲν ἔπειθ' ἵππους θεράποντε κομείτην·
ἴφθιμοι σθένελός τε καὶ εὐρυμέδων ἀγαπήνωρ·
τὼ δ' εἰς ἀμφοτέρω διομήδεος ἅρματα βήτην.

οὕς ποτ' ἀπ' αἰνείαν ἑλόμην: [illegible]

τούτω μὲν θεράποντε: [illegible]

τώδε δὲ νῶϊ: [illegible]

νέστωρ δ' ἐν χείρεσσι λάβ' ἡνία φοινικόεντα·
μάστιξεν δ' ἵππους· τάχα δ' ἕκτορος ἄγχι γένοντο·
τοῦ δ' ἰθὺς μεμαῶτος ἀκόντισε τυδέος υἱός·
καὶ τοῦ μέν ῥ' ἀφάμαρτεν· ὁ δ' ἡνίοχον θεράποντα,
υἱὸν ὑπερθύμου θηβαίου ἠνιοπῆα.
ἵππων ἡνί' ἔχοντα, βάλε στῆθος, παρὰ μαζόν·
ἤριπε δ' ἐξ ὀχέων· ὑπερώησαν δέ οἱ ἵπποι
ὠκύποδες· τοῦ δ' αὖθι λύθη ψυχή τε μένος τε·
ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας ἡνιόχοιο·
τὸν μὲν ἔπειτ' εἴασε καὶ ἀχνύμενός περ ἑταίρου
κεῖσθαι· ὁ δ' ἡνίοχον μέθεπε θρασύν· οὐδ' ἄρ' ἔτι δὴν
ἵππω δευέσθην σημάντορος· αἶψα γὰρ εὗρεν
ἰφιτίδην ἀρχεπτόλεμον θρασύν· ὅν ῥα τόθ' ἵππων
ὠκυπόδων ἐπέβησε· δίδου δέ οἱ ἡνία χερσίν·
ἔνθά κε λοιγὸς ἔην, καὶ ἀμήχανα ἔργα γένοντο·
καί νύ κε σήκασθεν κατὰ ἴλιον ἠΰτε ἄρνες·
εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε·
βροντήσας δ' ἄρα δεινὸν ἀφῆκ' ἀργῆτα κεραυνόν·
κὰδ δὲ πρόσθ' ἵππων διομήδεος ἧκε χαμᾶζε·
δεινὴ δὲ φλὸξ ὦρτο θεείου καιομένοιο·
τὼ δ' ἵππω δείσαντε καταπτήτην ὑπ' ὄχεσφι·
νέστορα δ' ἐκ χειρῶν φύγον ἡνία σιγαλόεντα·
δεῖσε δ' ὅ γ' ἐν θυμῷ· διομήδεα δὲ προσέειπε·
τυδεΐδη· ἄγε δ' αὖτε φόβονδ' ἔχε μώνυχας ἵππους·
ἦ οὐ γιγνώσκεις· ὅ τοι ἐκ διὸς οὐχ ἕπετ' ἀλκή·
νῦν μὲν γὰρ τούτῳ κρονίδης ζεὺς κῦδος ὀπάζει

καὶ ἀχνύμενός περ ἑταίρου: οὐ λείπει ἡ περί πρόθεσις· ἀλλὰ περισσὸς ὁ δεσμὸς ἐναντιωματικὸς καὶ ἐμφατικός. διὸ τὸ περ τῆς μετοχῆς ὀξυτονητέον:-

ἰφιτίδην: ὅτι ζηνόδοτος ἐνθάδε μὲν γράφει θρασυπτόλεμον, ἐν δὲ τοῖς μετὰ ταῦτα εἴασεν ἀρχεπτόλεμον:-

σήκασθεν: ἀντὶ τοῦ σηκὸν κατειλήθησαν· σηκὸς δὲ εἴρηται οἱονεὶ στηκός τις ὢν ἀπὸ τοῦ ἵστασθαι ἐν αὐτῷ τὰ θρέμματα· ἐνθένδε οἱ νεώτεροι τῶν ποιητῶν σηκὸν λέγουσι τὸν ναὸν ἀπὸ τοῦ ἵστασθαι ἐν αὐτῷ τὰ ἀγάλματα:-

ὅτι τὸ σήκασθεν αὐτὸς ἐπεξηγεῖται εἰπὼν ἠΰτε ἄρνες:-

βροντήσας δ' ἄρα δεινόν: [illegible] ἐπὶ τὸ δεινόν. λέγεται γὰρ [illegible] τῆς βροντῆς. ἐπὶ δὲ τοῦ κεραυνοῦ [illegible] ἀργῆτα:-

θέειον: θεῖον· προσληπτέον δὲ κεραυνόν. ὅπου γὰρ ἂν κεραυνὸς πέσῃ, [illegible] ὄζει ἐν [illegible] ποιεῖ:-

τυδεΐδη ἄγε δ' αὖτε: ὅτι φόβον τὴν φυγήν. καὶ ὅτι ζηνόδοτος γράφει ἄγε αὖ [illegible] φόβονδε· ὁ δέ ἐστιν [illegible] οὐδέτερον ἁρμόζει:-

† ἀνὴρ δέ κεν οὔ τι Διὸς νόον· εἰρύσαιτο ὁ λόγος. οὐδ' ἂν ὁ ἀνὴρ τὸ τοῦ Διὸς νόον ἐπισπάσαιτο ἢ φυλάξαιτο ὥστε τὰ συμφέροντα αὐτοῖς γνῶναι. ὥς ποτ' ἀπειλήσει· ὁ οὐ κεῖται καθόλου εὐρεῖα χθεί. ἀλλ' ἐμοὶ εὐρεῖα μὴ γένοιτο ἀντὶ τοῦ ἀρχὴ χάσμα ποιήσας:-

ἀπειλήσει· καυχήσεται κομπάσει. ἡ μὲν εἰ δὲ ἡ λέξις πλείονα ἐπὶ καυχήσεως μᾶλλον ... ὁ Διομήδης ... ἀντὶ τοῦ ἐναντίον πολεμίζων ... :-

φύγαδε τράπε· φυγάδε ὁ σάμα δε. καὶ ἤτοι τὴν φυγὴν φυγάδε ... οἱ καθ' ... φυγάδε:-

σήμερον· ὕστερον αὖτε καὶ ἡμῖν αἴ κ' ἐθέλῃσι
δώσει· ἀνὴρ δέ κεν οὔ τι Διὸς νόον εἰρύσαιτο
οὐδὲ μάλ' ἴφθιμος· ἐπεὶ ἦ πολὺ φέρτερός ἐστι.
τὸν δ' ἠμείβετ' ἔπειτα βοὴν ἀγαθὸς Διομήδης.
ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπες.
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει.
Ἕκτωρ γάρ ποτε φήσει ἐνὶ Τρώεσσ' ἀγορεύων·
Τυδεΐδης ὑπ' ἐμεῖο φοβεύμενος ἵκετο νῆας.
ὥς ποτ' ἀπειλήσει· τότε μοι χάνοι εὐρεῖα χθών.
τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
ὤ μοι Τυδέος υἱὲ δαΐφρονος, οἷον ἔειπες.
εἴ περ γάρ σ' Ἕκτωρ γε κακὸν καὶ ἀνάλκιδα φήσει,
ἀλλ' οὐ πείσονται Τρῶες καὶ Δαρδανίωνες.
καὶ Τρώων ἄλοχοι μεγαθύμων ἀσπιστάων.
τάων ἐν κονίῃσι βάλες θαλεροὺς παρακοίτας.
ὣς ἄρα φωνήσας, φύγαδ' ἔτραπε μώνυχας ἵππους
αὖτις ἀν' ἰωχμόν· ἐπὶ δὲ Τρῶές τε καὶ Ἕκτωρ
ἠχῇ θεσπεσίῃ βέλεα στονόεντα χέοντο.
τῷ δ' ἐπὶ μακρὸν ἄϋσε μέγας κορυθαίολος Ἕκτωρ.
Τυδεΐδη· περὶ μέν σε τίον Δαναοὶ ταχύπωλοι
ἕδρῃ τε, κρέασίν τε, ἰδὲ πλείοις δεπάεσσι.
νῦν δέ σ' ἀτιμήσουσι· γυναικὸς ἄρ' ἀντὶ τέτυξο.
ἔρρε κακὴ γλήνη· ἐπεὶ οὐκ εἴξαντος ἐμεῖο.
πύργων ἡμετέρων ἐπιβήσεαι· οὐδὲ γυναῖκας
ἄξεις ἐν νηυσί· πάρος τοι δαίμονα (μόρον) δώσω.

† τυχεῖν δὴ περιμένεσθαι· ... ἀπελεύσεται γὰρ νῦν καὶ τὸ τίον δὲ ποιητικῶς ... τὸν κατάρχειν χεόμενον ... ἤχῳ θεσπεσίᾳ ... ὅτι ... ποιητῇ:- Γυναικὸς ἄρ' καὶ ... ἀντὶ ... εἰ δὲ τὸ αὐτὸ ... ἐναντίον τῇ διανοίᾳ παραλήψονται:-

Ἔρρε κακὴ γλήνη· ... κατασκευὴ καὶ τὸ πάρος τοι δαίμονα δώσω ... ποιητὴν ... καὶ τὰ ... :-

ἵππους τε στρέψαι: ὅτι ὑποτακτικοί [illegible] ἐναντίβιον μαχέσασθαι [illegible] διάνδιχα [illegible] ἐναντίβιον [illegible] ἵππους καὶ μαχέσασθαι :—

σῆμα τιθεὶς Τρώεσσι: [illegible] τὸ πρὸ αὐτῶν [illegible] σημεῖον [illegible] νίκην [illegible] :— ἀβληχρά: [illegible] ἀμβληχρά [illegible] παράδοσις [illegible] ἀμβληχρά καὶ ἀμβληχρῶν [illegible] ἀβληχρά [illegible]

ὣς φάτο· τυδείδης δὲ διάνδιχα μερμήριξεν·
ἵππους τε στρέψαι καὶ ἐναντίβιον μαχέσασθαι.
τρὶς μὲν μερμήριξε κατὰ φρένα καὶ κατὰ θυμόν.
τρὶς δ' ἄρ' ἀπ' ἰδαίων ὀρέων κτύπε μητίετα ζεύς.
σῆμα τιθεὶς τρώεσσι. μάχης ἑτεραλκέα νίκην·
ἕκτωρ δὲ τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας·
τρῶες. καὶ λύκιοι. καὶ δάρδανοι ἀγχιμαχηταί.
ἀνέρες ἔστε φίλοι· μνήσασθε δὲ θούριδος ἀλκῆς·
γιγνώσκω δ' ὅτι μοι πρόφρων κατένευσε κρονίων
νίκην. καὶ μέγα κῦδος· ἀτὰρ δαναοῖσί γε πῆμα.
νήπιοι. οἳ ἄρα δὴ τάδε τείχεα μηχανόωντο
ἀβληχρ' οὐδενόσωρα· τὰ δ' οὐ μένος ἀμὸν ἐρύξει·
ἵπποι δὲ ῥέα τάφρον ὑπερθορέονται ὀρυκτήν·
ἀλλ' ὅτε κεν δὴ νηυσὶν ἔπι γλαφυρῇσι γένωμαι.
μνημοσύνη τις ἔπειτα πυρὸς δηΐοιο γενέσθω.
ὡς πυρὶ νῆας ἐνιπρήσω· κτείνω δὲ καὶ αὐτούς.
ὣς εἰπὼν, ἵπποισιν ἐκέκλετο. φώνησέν τε:
ξάνθε τε. καὶ σὺ πόδαργε καὶ αἴθων λάμπε τε δῖε.
νῦν μοι τὴν κομιδὴν ἀποτίνετον. ἣν μάλα πολλὴν
ἀνδρομάχη θυγάτηρ μεγαλήτορος ἠετίωνος.
ὑμῖν πὰρ προτέροισι μελίφρονα πυρὸν ἔθηκεν.
οἶνόν τ' ἐγκεράσασα, πιεῖν. ὅτε θυμὸς ἀνώγοι.
ἢ ἐμοί· ὅσπερ οἱ θαλερὸς πόσις εὔχομαι εἶναι·
ἀλλ' ἐφομαρτεῖτον. καὶ σπεύδετον· ὄφρα λάβωμεν
ἀσπίδα νεστορέην. τῆς νῦν κλέος οὐρανὸν ἵκει.

ἡ ἐπιλαίων [illegible]

ὅτι ἐπὶ τῶν [illegible] τέσσαρ[illegible]

καὶ παρά [illegible]

[illegible] ἀλλ' ἐφομαρτεῖτον [illegible]

οὐκ [illegible] ἀμβληχρὰ καὶ ἡ ἀμβληχρά [illegible] :— οὐδενόσωρα. [illegible] :—

οὐδενόσωρα: [illegible] :—

ξάνθε τε καὶ σὺ πόδαργε. καὶ αἴθων λάμπετε δῖον. [illegible] :—

ὑμῖν πὰρ προτέροισι [illegible] :—

οἶνόν τ' ἐγκεράσασα [illegible] :—

ἀλλ' ἐφομαρτεῖτον καὶ σπεύδετον: ὅτι [illegible] :— ἀσπίδα νεστορέην: [illegible] :—

κανόνας ῥάβδους οἷς ἐκράτουν τὰς ἀσπίδας· οὔπω γὰρ ἐχρῶντο τοῖς πορπάξιν ὡς ὁ Κάρ ... ὑπὸ Καρῶν ... δαιδάλεον· ποικίλον ... Ἥφαιστος ... κἀπεὶ τὸ πρὶν ... καὶ οὐκέτι ... :—

οἳ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγάς· ... Ποσειδῶνος ... ὁ ποιητὴς κακεῖ :—

Τρῶας ἀπώσασθαι καὶ ἐρυκέμεν εὐρύοπα Ζῆν αὐτοῦ κ' ἔνθ' ἀκάχοιτο· ... ὑποστιγμή ... ὄνομα :— ... γράμματα ... ἄλογα ... μεταξὺ ... συλλαβὴ ... ὑποστιγμὴ ... διάστημα ... παραπλήσια ... οὐδ' ἀπιθήσει ... συμμιγεῖς καταρχὰς τοῦ στίχου μετὰ τὸ μὴ μόνον στοιχεῖον διάστημα εἰς τὸ ὑποστιγμῆς :—

> πᾶσαν χρυσείην ἔμεναι. κανόνας τε καὶ αὐτήν.
αὐτὰρ ἀπ' ὤμοιιν Διομήδεος ἱπποδάμοιο
δαιδάλεον θώρηκα· τὸν Ἥφαιστος κάμε τεύχων.
εἰ τούτω κε λάβοιμεν· ἐελποίμην κεν Ἀχαιοὺς
αὐτονυχὶ νηῶν ἐπιβησέμεν ὠκειάων.
ὣς ἔφατ' εὐχόμενος. νεμέσησε δὲ πότνια Ἥρη.
> σείσατο δ' εἰνὶ θρόνῳ. ἐλέλιξε δὲ μακρὸν Ὄλυμπον.
καί ῥα Ποσειδάωνα μέγαν θεὸν ἀντίον ηὔδα.
ὢ πόποι. ἐννοσίγαι' εὐρυσθενές. οὐδέ νυ σοί περ
ὀλλυμένων Δαναῶν ὀλοφύρεται ἐν φρεσὶ θυμός.
οἳ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ' ἀνάγουσι
πολλά τε καὶ χαρίεντα· σὺ δέ σφισι βούλεο νίκην.
εἴ περ γάρ κ' ἐθέλοιμεν ὅσοι Δαναοῖσιν ἀρωγοί.
> Τρῶας ἀπώσασθαι. καὶ ἐρυκέμεν εὐρύοπα Ζῆν
× αὐτοῦ κ' ἔνθ' ἀκάχοιτο καθήμενος οἶος ἐν Ἴδῃ.
τὴν δὲ μέγ' ὀχθήσας προσέφη κρείων ἐνοσίχθων.
> Ἥρη ἀπτοεπές· ποῖον τὸν μῦθον ἔειπες.
οὐκ ἂν ἔγωγ' ἐθέλοιμι Διὶ Κρονίωνι μάχεσθαι
ἡμέας τοὺς ἄλλους· ἐπεὶ ἦ πολὺ φέρτερός ἐστιν.
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
τῶν δ' ὅσον ἐκ νηῶν ἀπὸ πύργου τάφρος ἔεργε.
πλῆθεν ὁμῶς ἵππων τε καὶ ἀνδρῶν ἀσπιστάων
εἰλομένων. εἴλει δὲ θοῷ ἀτάλαντος Ἄρηϊ
Ἕκτωρ Πριαμίδης. ὅτε οἱ Ζεὺς κῦδος ἔδωκε.
καί νύ κεν ἔπρησεν πυρὶ κηλέῳ νῆας ἐΐσας.

αὐτοῦ κ' ἔνθ' ἀκάχοιτο καθήμενος· ὅτι Ζηνόδοτος ἀκάχοιτο ... ἀκαχήμενος :—

ἀπτοεπές· ... θρασύστομε ... ἄριστε ... ἀκρατῆ ... ἡ ἄφοβα ... :—

τῶν δ' ὅσον ἐκ νηῶν ἀπὸ πύργου τάφρος ἔεργε· διχῶς Ἀρίσταρχος ἔεργε καὶ ἔερκε ... τοῦ τείχους ἡ τάφρος ... πλῆθεν ὁμοῦ ἵππων καὶ ἀνδρῶν συνειλουμένων καὶ συνειργομένων ὑπὸ τοῦ Ἕκτορος· Ζηνόδοτος δὲ γράφει τῶν δ' ὅσον ἐκ νηῶν καὶ πύργου ... διαστήματα ... τείχους ... ἀπὸ τοῦ τείχους ... τάφρος ... :— ἄλλως· ... ἀπὸ τάφρου πύργος ἔεργε ... ἐκ νηῶν ... πύργος ... ἡ τάφρος ... τὸ μεταξὺ τοῦ τείχους καὶ τῆς τάφρου πλῆρες ἦν ἵππων καὶ ἀνδρῶν ... τὸ μεταξὺ τοῦ τείχους καὶ τῆς τάφρου διάστημα ... :— τῶν δ' ὅσον ἐκ νηῶν· ... ὅσον ἡ τάφρος ἀπεῖχε τοῦ τείχους καὶ τῶν νηῶν ... ἵππων ... τὸ γὰρ ἔεργε ... τοῦ τείχους ... διάστημα ... ἡ τάφρος ... τὸ διάστημα ... ἐκ ... τάφρου ... τείχους ... κηλέῳ ... τῷ καίοντι ... κηλέῳ ... χάριν Ἕκτορος :—

περικηλέῳ

πορφύρεον μέγα φᾶρος: πρὸς τὸ ἔχων ἐν χειρί, τί ποτε σημαίνῃ. ὁ μὲν Ἀπολλόδωρος ... εἰ χερσὶ ... οἱ δὲ νεώτεροι πρὸς τὸ κατασείειν ... τὸ φᾶρος ... πορφυροῦν ἱμάτιον ὃ μετεχειρίζετο ... ἐν ... ἑαυτὸν σημαίνῃ τοῖς ἐν νηυσίν· ἐπειδὴ ἀδύνατον ἦν διὰ φωνῆς αὐτοῖς καταγγέλλειν ... ἥ ῥ' ἐν μεσσάτῳ πρὸς τὴν τάξιν τῆς εὐνομίας ἡ παρατήρησις καὶ πρὸς τὸ γεγωνέμεν ... φθέγξασθαι:— ὅτε δὴ φάμεν: οὐκ ἀναγκαῖον ὁ ... ἵνα κεκραμένως ... ὁμοίως τὸ μὴ ... ἐπὶ μὲν γὰρ τοῦ ... κατὰ τὸν ποιητὴν ... τοῦ παρῳχημένου ... ἀποκεχρῆσθαι τὸ ε ... ἐπὶ τὴν ... τὴν προσῳδίαν καὶ ... ἐγκαλεῖσθαι ... οὐ τελέσομεν:—

εἰ μὴ ἐπὶ φρεσὶ θῆκ' ἀγαμέμνονι πότνια ἥρη
αὐτῷ ποιπνύσαντι. θοῶς ὀτρῦναι ἀχαιούς·
βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας ἀχαιῶν
πορφύρεον μέγα φᾶρος ἔχων ἐν χειρὶ παχείῃ·
στῆ δ' ἐπ' ὀδυσσῆος μεγακήτεϊ νηῒ μελαίνῃ.
ἥ ῥ' ἐν μεσσάτῳ ἔσκε γεγωνέμεν ἀμφοτέρωσε·
ἤϋσεν δὲ διαπρύσιον. δαναοῖσι γεγωνώς·
αἰδὼς ἀργεῖοι. κάκ' ἐλέγχεα. εἶδος ἀγητοί.
πῆ ἔβαν εὐχωλαί. ὅτε δὴ φάμεν εἶναι ἄριστοι·
ἃς ὁπότ' ἐν λήμνῳ κενεαυχέες ἠγοράασθε.
ἔσθοντες κρέα πολλὰ. βοῶν ὀρθοκραιράων.
πίνοντες κρητῆρας ἐπιστεφέας οἴνοιο.
τρώων ἀνθ' ἑκατόν τε διηκοσίων τε ἕκαστος
στήσεσθ' ἐν πολέμῳ. νῦν δ' οὐδ' ἑνὸς ἄξιοί εἰμεν
ἕκτορος. ὃς τάχα νῆας ἐνιπρήσει πυρὶ κηλέῳ.
ζεῦ πάτερ. ἦ ῥά τιν' ἤδη ὑπερμενέων βασιλήων
τῇδ' ἄτῃ ἄασας. καί μιν μέγα κῦδος ἀπηύρας.
οὐ μὲν δή ποτέ φημι τεὸν περικαλλέα βωμὸν
νηῒ πολυκλήϊδι παρελθέμεν ἐνθάδε ἔρρων,
ἀλλ' ἐπὶ πᾶσι. βοῶν δημὸν καὶ μηρί' ἔκηα
ἱέμενος τροίην εὐτείχεον ἐξαλαπάξαι.
ἀλλὰ ζεῦ τόδε πέρ μοι ἐπικρήηνον ἐέλδωρ.
αὐτοὺς δή περ ἔασον ὑπεκφυγέειν καὶ ἀλύξαι.
μηδ' οὕτω τρώεσσιν ἔα δάμνασθαι ἀχαιούς.
ὣς φάτο. τὸν δὲ πατὴρ ὀλοφύρατο δάκρυ χέοντα·
νεῦσε δέ οἱ λαὸν σόον ἔμμεναι. οὐδ' ἀπολέσθαι.

ἃς ὁπότ' ἐν λήμνῳ: ... τοῦτο ... μετὰ τοῦ παρὰ ... ὀργιζόμενον ... παραδίδωσιν:—

ἔσθοντες κρέα πολλά: περισσὸν ... ἐκ γὰρ τοῦ πίνειν οὐκ ἐκ τοῦ ἐσθίειν τὸ καυχᾶσθαι σημαίνει:—

τρώων ἀνθ' ἑκατόν τε: ... οὐ ... ἡ ὀξεῖα ... ἀντὶ τοῦ ... οὕτως δὲ ἄξιοι ... ὁμώνυμος. καὶ ἐμοὶ ... ἀρέσκει ... τῆς διανοίας. ἀντὶ ... ἑκατὸν καὶ διηκοσίων εἷς ἕκαστος στήσεσθαι φησίν. οὐ γὰρ ... ἡ σύνταξις ... γενικῇ ... :—

ἕκτορος ὃς τάχα νῆας: ... ἐκ ... ὀνειδισμὸν ... ἀνδρός ... τὰ τοῦ:— ἕκτορος ὃς τάχα: ἤτοι ... ἀρίσταρχος ... ὁ ἕκτωρ ... ὁ δὲ κῦδος ὀλυμπίου αὐτὸς ὀπάζει ... παρὰ ἀριστάρχῳ:—

νηῒ πολυκλήϊδι παρελθέμεν ἐνθάδε ἔρρων: ὅτι τὸ ἔρρων οὐ κεῖται ... παρ' ὁμήρῳ ... μετὰ φθορᾶς ... :—

δημόν: ἀρίσταρχος κατ' ἐξαίρετον ἐπὶ τῆς ... τὸ γὰρ ἐπὶ ... οὕτως ... ὁ ἀσκαλωνίτης ... παρὰ τὸ δέμας ... τυγχάνον ... παρὰ τὸν δασμόν ... παρὰ τὸ ... δύναται ... ὁμολογεῖν ... παρὰ τὸ ... καὶ ... τὸ ... ἀπὸ ...

+ αὐτίκα δ' αἰετὸν ἧκε τελειότατον: μέγιστον ἢ ἐντελῆ σημεῖα φαινόμενα ἐπὶ τελειότατον λέγεται δὲ κατὰ τὴν τοῦ Διὸς γένεσιν τὸν αἰετὸν γεννηθῆναι [illegible] παραστῆναι [illegible] ζῷον τὸν αἰετὸν εἴληφθ' ὁ Ζεὺς προστάτην καὶ ἄνθρωποι αὐτοῦ χρῶνται [illegible] ἐπιφανείας ἀξιοῖ [illegible] ἀλλὰ παρὰ τὸ θεὸν δηλοῦν τὸ ἀληθές :— πανομφαίῳ, ὅτι οὐ κατὰ [illegible] ὀμφαὶ [illegible] καὶ πᾶσι [illegible] ὅτι ἅπαξ ἐνταῦθα τὸ ἐπίθετον :—

πανομφαίῳ: τιμᾶται ὑπὸ πάντων φωνῶν [illegible] πάρεσιν αὐτὸς [illegible] ἀήρ :—

αὐτίκα δ' αἰετὸν ἧκε τελειότατον πετεηνῶν
νεβρὸν ἔχοντ' ὀνύχεσσι τέκος ἐλάφοιο ταχείης.
πὰρ δὲ Διὸς βωμῷ περικαλλέϊ κάββαλε νεβρόν.
> ἔνθα πανομφαίῳ Ζηνὶ ῥέζεσκον ἀχαιοί·
οἱ δ' ὡς οὖν εἴδονθ' ὅ τ' ἄρ' ἐκ Διὸς ἤλυθεν ὄρνις.
μᾶλλον ἐπὶ τρώεσσι θόρον. μνήσαντο δὲ χάρμης.
ἔνθ' οὔτις πρότερος δαναῶν. πολλῶν περ ἐόντων
εὔξατο τυδεΐδαο πάρος σχέμεν ὠκέας ἵππους.
τάφρου τ' ἐξελάσαι. καὶ ἐναντίβιον μαχέσασθαι.
ἀλλὰ πολὺ πρῶτος τρώων ἕλεν ἄνδρα κορυστὴν
> φραδμονίδην ἀγέλαον. ὁ μὲν φύγαδ' ἔτραπεν ἵππους.
τῷ δὲ μεταστρεφθέντι. μεταφρένῳ. ἐν δόρυ πῆξεν
ὤμων μεσσηγύς. διὰ δὲ στήθεσφιν ἔλασσεν·
ἤριπε δ' ἐξ ὀχέων. ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ·
τὸν δὲ μετ' ἀτρεΐδαι. ἀγαμέμνων καὶ μενέλαος.
τοῖσι δ' ἐπ' αἴαντες. θοῦριν ἐπιειμένοι ἀλκήν·
τοῖσι δ' ἐπ' ἰδομενεύς. καὶ ὀπάων ἰδομενῆος
μηριόνης. ἀτάλαντος ἐνυαλίῳ ἀνδρειφόντῃ·
τοῖσι δ' ἐπ' εὐρύπυλος εὐαίμονος ἀγλαὸς υἱός.
> τεῦκρος δ' εἴνατος ἦλθε παλίντονα τόξα τιταίνων·
στῆ δὲ παρ' αἴαντος σάκεϊ τελαμωνιάδαο·
ἔνθ' αἴας μὲν ὑπεξέφερεν σάκος. αὐτὰρ ὅ γ' ἥρως
παπτήνας. ἐπεὶ ἄρ τιν' ὀϊστεύσας ἐν ὁμίλῳ
> βεβλήκει. ὁ μὲν αὖθι πεσὼν, ἀπὸ θυμὸν ὄλεσσεν·
αὐτὰρ ὁ αὖτις ἰὼν, πάϊς ὡς ὑπὸ μητέρα δύσκε

Τεῦκρος δ' εἴνατος: ὁ πάντων ὑστέρευ(σαν)των, μόνος ὁ διὰ τόξου παρέμενε πρὸ τοῖς [illegible] τὸ [illegible] Τεῦκρ[illegible] [illegible] ὅτι [illegible] παρ[illegible]:—

παπτήνας: [illegible] ἐπὶ τὸ πανταχοῦ. ὑποστικτέον [illegible] κρίσιν [illegible]:—

[Marginal glosses:] [illegible] — ἐναντίον [illegible] ἵπποις — στῆ δ' ἄρ' ὑπ' αἴαντ(ος) — ἀρίσταρχ(ος) βεβλήκοι

εἰς αἴανθ'· ὁ δέ μιν σάκει κρύπτασκε φαεινῷ.
ἔνθα τίνα πρῶτον τρώων ἕλε τεῦκρος ἀμύμων;
ὀρσίλοχον μὲν πρῶτα καὶ ὄρμενον, ἠδ' ὀφελέστην,
δαίτορά τε, χρομίον τε, καὶ ἀντίθεον λυκοφόντην,
καὶ πολυαιμονίδην ἀμοπάονα καὶ μελάνιππον.
τὸν δὲ ἰδὼν γήθησεν ἄναξ ἀνδρῶν ἀγαμέμνων
τόξου ἄπο κρατεροῦ τρώων ὀλέκοντα φάλαγγας·
στῆ δὲ παρ' αὐτὸν ἰὼν, καί μιν πρὸς μῦθον ἔειπε·
τεῦκρε φίλη κεφαλὴ, τελαμώνιε, κοίρανε λαῶν,
βάλλ' οὕτως, αἴ κέν τι φόως δαναοῖσι γένηαι
πατρί τε σῷ τελαμῶνι, ὅ σ' ἔτρεφε τυτθὸν ἐόντα·
καί σε νόθον περ ἐόντα κομίσσατο ᾧ ἐνὶ οἴκῳ·
τὸν καὶ τηλόθ' ἐόντα ἐϋκλείης ἐπίβησον.
σοὶ δ' ἐγὼ ἐξερέω, ὡς καὶ τετελεσμένον ἔσται·
αἴ κέν μοι δώῃ ζεύς τ' αἰγίοχος καὶ ἀθήνη
ἰλίου ἐξαλαπάξαι ἐϋκτίμενον πτολίεθρον,
πρώτῳ τοι μετ' ἐμὲ πρεσβήϊον ἐν χερὶ θήσω,
ἢ τρίποδ' ἠὲ δύω ἵππους αὐτοῖσιν ὄχεσφιν,
ἠὲ γυναῖχ', ἥ κέν τοι ὁμὸν λέχος εἰσαναβαίνοι.
τὸν δ' ἀπαμειβόμενος προσεφώνεε τεῦκρος ἀμύμων·
ἀτρεΐδη κύδιστε, τί με σπεύδοντα καὶ αὐτὸν
ὀτρύνεις; οὐ μέν μοι, ὅση δύναμίς γε πάρεστι,
παύομαι· ἀλλ' ἐξ οὗ προτὶ ἴλιον ὠσάμεθ' αὐτούς,
ἐκ τοῦ δὴ τόξοισι δεδεγμένος ἄνδρας ἐναίρω.
ὀκτὼ δὴ προέηκα τανυγλώχινας ὀϊστούς.

πολυαιμονίδην: ἐν ἑνὶ λόγῳ ἀναγνωστέον· κύριον γάρ.

ὁ δὲ ἵπποις ἐχρῶντο: [illegible]

σπεύδοντα: ἐνεργοῦντα.

αὐτοῖσιν ὄχεσφιν: [illegible]

πολυαιμονίδην ἀμοπάονα: τινὲς τὸ πάντα ἓν ἀκούεσθαι θέλουσι· παραιτητέον δὲ τοὺς δύο νομίζοντας τὸ ἀμοπάονα· πιθανώτερον γάρ ἐστι κύριον αὐτὸ παραλαμβάνειν, ἵνα τὸ προκείμενον αὐτοῦ πατρωνυμικὸν τυγχάνῃ.

ὅ σ' ἔτρεφε: κοινότερον μὲν εἴρηκεν· τὸ δὲ ὁ παρὰ τῷ ποιητῇ κεῖται ἀντὶ τοῦ ὅς.

καί σε νόθον περ ἐόντα: παρασημειωτέον οὐδὲ ἦν· ἡ διπλῆ δὲ καὶ παρὰ ἀριστοφάνει, ὅτι ἄκαιρος ἡ γενεαλογία καὶ οὐκ ἔχουσα προτροπὴν ἀλλὰ τοὐναντίον ὀνειδισμὸν καὶ ἀποτροπήν.

ἡρακλῆς πορθήσας ἴλιον ἡσιόνην τὴν λαομέδοντος θυγατέρα πριάμου δὲ ἀδελφὴν ἔλαβεν αἰχμάλωτον καὶ ἔδωκεν ἀντὶ γέρως τελαμῶνι ὡς συστρατεύσαντι αὐτῷ· ἀφ' ἧς ἔσχε τεῦκρον ὁ τελαμὼν ὡς ἐξ ἀποπροίκου γυναικὸς τεχθέντα τὸν παῖδα, καὶ ... προαναπέμψαντες τὸ γένος καὶ ποιήσαντες κύριον. τεῦκροι γὰρ οἱ τρῶες ἀπὸ τοῦ ... τεύκρου. ἡ ἱστορία ἀκριβέστερον εἴρηται παρά τε ἄλλοις πολλοῖς καὶ παρὰ ἀπολλωνίῳ τῷ γραμματικῷ ἐν τοῖς δευτέροις τῶν ... ἐξετάζεται δὲ πῶς ἐξ ἀπορίας ... νόθον. ἡμεῖς δέ φαμεν τοῦτο μὴ εἶναι πρὸς αἰσχύνης διὰ τὸ παρὰ τοῖς παλαιοῖς ἔθος κρατοῦν· εἰ μὴ γὰρ τοῖς νόθοις ... τοῖς γνησίοις· ἀλλ' ὅμως εἰ καὶ αἰχμάλωτος ἦν ἡσιόνη, ἀλλὰ βασιλίς. ἤδη δὲ καὶ αὐξήσεως ἕνεκεν τοῦτο εἰρῆσθαί φαμεν, ὅτι τῇ ἀρετῇ καὶ τοὺς γνησίους ὑπερβαίνει.

ἢ τρεῖς ἄνδρας ...

ἢ τρίποδ' ἠὲ δύω: παραδιαζευκτικὸς ὁ ἤ, ὡς τὸ ἠὲ δύο.

ἐκ τοῦ δὴ τόξοισι δεδεγμένος: οὕτως αἱ ἀριστάρχου διὰ τοῦ γ δεδεγμένος· ἡρωδιανοῦ διὰ τοῦ χ δεδεχμένος. καί φασι διονύσιον ἐν τοῖς ὑπομνήμασιν ... δεξιοῦμενος τοῖς τόξοις· τὸ γὰρ δεδεγμένος ... οὐ καλῶς ἐξήγηται.

+ κύνα: διὰ τὸ θρασὺ καὶ τολμηρὸν ἐξ οὗ καὶ ἔφυγε θάνατον κύον καὶ τὸ ... πάθος κύνος ...:—

πάντες δ' ἐν χροῒ πῆχθεν ἀρηϊθόων αἰζηῶν.
τοῦτον δ' οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα.
ἦ ῥα· καὶ ἄλλον ὀϊστὸν ἀπὸ νευρῆφιν ἴαλλεν
ἕκτορος ἀντικρύ. βαλέειν δέ ἑ ἵετο θυμός,
καὶ τοῦ μέν ῥ' ἀφάμαρθ'. ὁ δ' ἀμύμονα γοργυθίωνα
υἱὸν ἐῢν πριάμοιο κατὰ στῆθος βάλεν ἰῷ.
τόν ῥ' ἐξ αἰσύμηθεν ὀπυιομένη τέκε μήτηρ
καλὴ καστιάνειρα δέμας ἐϊκυῖα θεῇσι.
μήκων δ' ὡς ἑτέρωσε κάρη βάλεν. ἥ τ' ἐνὶ κήπῳ
καρπῷ βριθομένη, νοτίῃσί τε εἰαρινῇσι.
ὣς ἑτέρωσ' ἤμυσε κάρη πήληκι βαρυνθέν.
τεῦκρος δ' ἄλλον ὀϊστὸν ἀπὸ νευρῆφιν ἴαλλεν
ἕκτορος ἀντικρύ. βαλέειν δέ ἑ ἵετο θυμός,
ἀλλ' ὅ γε καὶ τόθ' ἅμαρτε. παρέσφηλεν γὰρ ἀπόλλων·
ἀλλ' ἀρχεπτόλεμον θρασὺν ἕκτορος ἡνιοχῆα
ἱέμενον πόλεμον δέ. βάλε στῆθος παρὰ μαζόν.
ἤριπε δ' ἐξ ὀχέων. ὑπερώησαν δέ οἱ ἵπποι
ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας ἡνιόχοιο.
τὸν μὲν ἔπειτ' εἴασε καὶ ἀχνύμενός περ ἑταίρου.
κεβριόνην δ' ἐκέλευσεν ἀδελφεὸν ἐγγὺς ἐόντα.
ἵππων ἡνί' ἑλεῖν. ὁ δ' ἄρ' οὐκ ἀπίθησεν ἀκούσας.
αὐτὸς δ' ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος
σμερδαλέα ἰάχων. ὁ δὲ χερμάδιον λάβε χειρί.
βῆ δ' ἰθὺς τεύκρου. βαλέειν δέ ἑ θυμὸς ἀνώγει.
ἤτοι ὁ μὲν φαρέτρης ἐξείλετο πικρὸν ὀϊστόν.

Left margin: + μήκων δ' ὡς ἑτέρωσε: [illegible] ... καρπῷ βριθομένη: [illegible] ... ἀλλ' ἀρχεπτόλεμον: [illegible] ... σμερδαλέα ἰάχων ὁ δέ: ὅτι ὡς περὶ ἑτέρου ὁ δὲ χερμάδιον ἐστὶ τὸ αὐτὸ ἀμφότερ' πρόσωπ' ... οὗτος δὲ αὐτὸ χερμάδιον λαμβάνει:—

ὁ δὲ χερμάδιον: ὁ δὲ ὅμηρικὸν ἔθος ὡς περὶ ἑτέρου λέγομεν:—

ὠκύποδες· τοῦ δ' αὖθι λύθη ψυχή τε μένος τε.

+ αὐερύοντα· ὅτι αὐερύοντα σαφῶς [illegible] ὀπίσω ἕλκοντα καὶ τανύοντα τόξα ἀπὸ τούτου [illegible] ἐστὶ τὸ αὐερύοντα [illegible] νεωτέροις ἀμφότερα γὰρ σημαίνει καὶ πρὸς τὸν ὦμον [illegible] ὁ μέντοι νεώτερος [illegible] εἶναι τὴν τοξείαν [illegible] τοῦ τόξου πρὸς τὸν ὦμον ἑλκομένου:–

ῥῆξε δέ οἱ νευρήν: ὅτι ἐν τοῖς ἑξῆς τοῦ [illegible] μνημονεύει· νευρὴν δ' ἐξέρρηξεν [illegible] καὶ ὅτι οὕτως [illegible] τὸ [illegible] κατὰ τὸν καρπόν: νάρκησε δὲ χεὶρ ποίος [illegible] δῆλον ὅτι ὁ ἀριστερός [illegible] τόξον δέ οἱ ἔκπεσε χειρός· [illegible] προειρημένῳ ὦμῳ εἰκὸς πεπλῆχθαι οὐχὶ [illegible] τοξεύειν· τινὲς δὲ χεῖρα κατὰ [illegible]

θῆκε δ' ἐπὶ νευρῇ· τὸν δ' αὖ κορυθαιόλος ἕκτωρ
\> αὐερύοντα παρ' ὦμον, ὅθι κληῒς ἀποέργει
αὐχένα τε στῆθός τε, μάλιστα δὲ καίριόν ἐστι.
τῇ ῥ' ἐπὶ οἷ μεμαῶτα βάλεν λίθῳ ὀκριόεντι·
\> ῥῆξε δέ οἱ νευρήν. νάρκησε δὲ χεὶρ ἐπὶ καρπῷ.
στῆ δὲ γνὺξ ἐριπών. τόξον δέ οἱ ἔκπεσε χειρός.
αἴας δ' οὐκ ἀμέλησε κασιγνήτοιο πεσόντος.
\> ἀλλὰ θέων περίβη. καί οἱ σάκος ἀμφεκάλυψε·
τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι,
μηκιστεὺς ἐχίοιο πάϊς. καὶ δῖος ἀλάστωρ.
νῆας ἔπι γλαφυρὰς φερέτην βαρέα στενάχοντα·
ἂψ δ' αὖτις τρώεσσιν ὀλύμπιος ἐν μένος ὦρσεν·
οἳ δ' ἰθὺς τάφροιο βαθείης ὦσαν ἀχαιούς.
ἕκτωρ δ' ἐν πρώτοισι κίε σθένεϊ βλεμεαίνων.
ὡς δ' ὅτε τίς τε κύων, συὸς ἀγρίου ἠὲ λέοντος
ἅπτηται κατόπισθε ποσὶν ταχέεσσι διώκων.
\> ἰσχία τε γλουτούς τε ἑλισσόμενόν τε δοκεύει·
ὣς ἕκτωρ ὤπαζε κάρη κομόωντας ἀχαιούς.
αἰὲν ἀποκτείνων τὸν ὀπίστατον. οἳ δὲ φέβοντο·
αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν
φεύγοντες· πολλοὶ δὲ δάμεν τρώων ὑπὸ χερσίν.
οἳ μὲν δὴ παρὰ νηυσὶν ἐρητύοντο μένοντες.
ἀλλήλοισί τε κεκλόμενοι καὶ πᾶσι θεοῖσι
χεῖρας ἀνίσχοντες μεγάλ' εὐχετόωντο ἕκαστος·
ἕκτωρ δ' ἀμφιπεριστρώφα καλλίτριχας ἵππους

χεὶρ ἐπὶ καρπῷ: τινὲς προπετεῖ [illegible] τὸ χεὶρ [illegible] τοὺς [illegible] ὁ δὲ [illegible] παρακαμπτ[illegible]

ἀλάστωρ: ὅτι [illegible] ὑπερμαχοῦντα τοῖς ἐκγόνοις [illegible] τὸ χρῆσθαι ἀμφικαλύψειν:–

ἕκτωρ δ' ἐν πρώτοισι: ἀθετεῖ[illegible] χωρὶς τοῦ ἕκτωρ δ' ἐν πρώτοισι· καὶ ἕκτωρ δὲ ἕκτωρ ἐν τοῖς πρώτοις ὁρμᾷ:–

ὡς δ' ὅτε τίς τε κύων: [illegible] κυνὶ [illegible] ἕκτωρ [illegible] κυνί [illegible]

ἰσχία τε γλουτούς τε: [illegible]

τοῖς χερσὶν ὀρεγόμενοι· [illegible]

ἀλλήλοισί τε κεκλόμενοι: [illegible] κεκλόμενοι ἀλλήλους [illegible]

μζ

γοργοῦς ὄμματ' ἔχων ἠδὲ βροτολοιγοῦ ἄρηος.
τὸν δὲ ἰδὼν ἐλέησε θεὰ λευκώλενος ἥρη.
αἶψα δ' ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
ὢ πόποι αἰγιόχοιο διὸς τέκος. οὐκέτι νῶϊ
ὀλλυμένων δαναῶν κεκαδησόμεθ' ὑστάτιόν περ.
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται
ἀνδρὸς ἑνὸς ῥιπῇ· ὁ δὲ μαίνεται οὐκέτ' ἀνεκτῶς
ἕκτωρ πριαμίδης, καὶ δὴ κακὰ πολλὰ ἔοργε.
τὴν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις ἀθήνη.
καὶ λίην οὗτός γε μένος θυμόν τ' ὀλέσειε
χερσὶν ὑπ' ἀργείων φθίμενος ἐν πατρίδι γαίῃ.
ἀλλὰ πατὴρ οὑμὸς φρεσὶ μαίνεται οὐκ ἀγαθῇσι.
σχέτλιος. αἰὲν ἀλιτρός. ἐμῶν μενέων ἀπερωεύς.
οὐδέ τι τῶν μέμνηται. ὅ οἱ μάλα πολλάκις υἱὸν
τειρόμενον σώεσκον ὑπ' εὐρυσθῆος ἀέθλων.
ἤτοι ὁ μὲν κλαίεσκε πρὸς οὐρανόν. αὐτὰρ ἐμὲ ζεὺς
τῷ ἐπαλεξήσουσαν ἀπ' οὐρανόθεν προΐαλλεν.
εἰ γὰρ ἐγὼ τάδε ᾔδε' ἐνὶ φρεσὶ πευκαλίμῃσιν.
εὖτέ μιν εἰς ἀΐδαο πυλάρταο προὔπεμψεν.
ἐξ ἐρέβευς ἄξοντα κύνα στυγεροῦ ἀΐδαο.
οὐκ ἂν ὑπεξέφυγε, στυγὸς ὕδατος αἰπὰ ῥέεθρα.
νῦν δ' ἐμὲ μὲν στυγέει. θέτιδος δ' ἐξήνυσε βουλάς.
ἥ οἱ γούνατ' ἔκυσσε. καὶ ἔλλαβε χειρὶ γενείου
λισσομένη τιμῆσαι ἀχιλλῆα πτολίπορθον.
ἔσται μάν, ὅτ' ἂν αὖτε φίλην γλαυκώπιδα εἴπῃ.

εἰ νῶϊ: ὅτι Ζηνόδοτος γράφει οὐ τοῖν νῶϊν· τοῦτο δέ τίθεται ἀντὶ τοῦ ἡμῖν ἢ ἡμῶν· οὐδέτερον δὲ ἁρμόζει· τὸ γὰρ νῶϊ ἐστὶν ἡ ἡμεῖς ἢ ἡμᾶς:
γηθήσει προφανεῖσα: Ἀρίσταρχος προφανέντε ὡς ἀμφοτέρων κε... ἑαυτὴν δυϊκῶς. ὁ δὲ Ζηνόδοτος γηθήσει προφανείσας ἰδών· ἔδοξεν ἀκόντως συστέλλειν τὸ α̅ ... ὀξυτόνως προφερόμενον μεγέθει κτασέως τὸ α̅· ἔστι δὲ ἀκατάλληλον ἀνάρμοστον τοῖς παρὰ τῷ ποιητῇ:–
ἦ τις καὶ Τρώων: περισπαστέον τὸν ἦ σύνδεσμον ἵνα διαπορητικὸς γένηται. καὶ ... τις ἵνα περισπασθήσεται.

ἀλλὰ σὺ μὲν νῦν νῶϊν ἐπέντυε μώνυχας ἵππους
ὄφρ' ἂν ἐγὼ καταδῦσα Διὸς δόμον αἰγιόχοιο·
τεύχεσιν ἐς πόλεμον θωρήξομαι. ὄφρα ἴδωμαι. (ἴδωμεν)
÷ εἰ νῶϊ Πριάμοιο πάϊς κορυθαίολος Ἕκτωρ
÷ γηθήσει προφανέντε ἀνὰ πτολέμοιο γεφύρας. (προφανεῖσα)
ἦ τις καὶ Τρώων κορέει κύνας ἠδ' οἰωνοὺς
δημῷ καὶ σάρκεσσι. πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν·
ὣς ἔφατ'· οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη·
ἣ μὲν ἐποιχομένη χρυσάμπυκας ἔντυεν ἵππους·
Ἥρη πρέσβα θεὰ θυγάτηρ μεγάλοιο Κρόνοιο·
αὐτὰρ Ἀθηναίη κούρη Διὸς αἰγιόχοιο.
— πέπλον μὲν κατέχευεν ἑανὸν. πατρὸς ἐπ' οὔδει.
— ποικίλον. ὅν ῥ' αὐτὴ ποιήσατο καὶ κάμε χερσίν·
— ἡ δὲ χιτῶν' ἐνδῦσα. Διὸς νεφεληγερέταο
τεύχεσιν ἐς πόλεμον θωρήσσετο δακρυόεντα.
ἐς δ' ὄχεα φλόγεα ποσὶ βήσετο. λάζετο δ' ἔγχος.
— βριθὺ μέγα στιβαρόν. τῷ δάμνησι στίχας ἀνδρῶν
— ἡρώων. τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη.
Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ' ἄρ' ἵππους.
> αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ. ἃς ἔχον ὧραι.
τῇς ἐπιτέτραπται μέγας οὐρανὸς Οὔλυμπός τε.
ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι.
τῇ ῥα δι' αὐτάων κεντρηνεκέας ἔχον ἵππους.
Ζεὺς δὲ πατὴρ Ἴδηθεν ἐπεὶ ἴδε. χώσατ' ἄρ' αἰνῶς.
Ἶριν δ' ὤτρυνε χρυσόπτερον ἀγγελέουσαν·
÷ βάσκ' ἴθι Ἶρι ταχεῖα. πάλιν τρέπε. μηδ' ἔα ἄντην

πέπλον μὲν κατέχευεν· ἀθετοῦνται στίχοι γ̅. ἐν τῇ τῆς Διομήδους ἀριστείᾳ καλῶς ἐπεξῆρται· πράγματα γάρ τινα. ἐνταῦθα δὲ πρὸς οὐδὲν ἀναγκαία ἡ παράθεσις. ἠθέτει δὲ καὶ Ἀριστοφάνης· Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν:–
λάζετο δ' ἔγχος· πολεμήσουσα τὸν ... ἐν τοῖς περὶ τοῦ Ὁμηρικοῦ χαρακτῆρος διὰ τοῦ ... προφέρεται λάζοιτο ἔστιν οὐ καλῶς κείμενον ἡ φράσις:–
βριθὺ μέγα· ἀθετοῦνται καὶ οὗτοι ὅτι ἀκαίρως ἐκεῖθεν μετενήνεκται:–
αὐτόμαται δὲ πύλαι: ὅτι πύλας οὐρανοῦ τὰ νέφη ὑποτίθεται. τὸν ὑπὲρ τὰ νέφη τόπον ὁμωνύμως τῷ στερεμνίῳ οὐρανὸν καλεῖ πρὸς τὸν περὶ Ὄλυμπον:–

βάσκ' ἴθι Ἶρι ταχεῖα· ὅτι οὐκ ἔστι κοινὸν μὲν ἐπὶ θεῶν τὸ ταχεῖα· ἀλλὰ ποδηνέμου ταχεῖα.

+ Γνιώσω μὲν σφῶϊν ὑφ' ἅρμασιν ὠκέας ἵππους. ἀθετητικῶς ἔχει ἡ ἀντωνυμία· τρίτου γὰρ προσώπου· τὰ δὲ ἐν τῷ δυϊκῷ τὸ σφῶε καὶ σφῶϊν ἀθετητικῶς ἔχει· ὅτε μέντοι δευτέρου γίνεται τὸ σφῶϊν προπερισπᾶται· ὀρθοτομεῖ ταῖς τὸ γυιώσω μὲν σφῶϊν:-

ἔρχεσθ'· οὐ γὰρ καλὰ συνοισόμεθα πτόλεμόνδε.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
γυιώσω μὲν σφῶϊν ὑφ' ἅρμασιν ὠκέας ἵππους.
αὐτὰς δ' ἐκ δίφρου βαλέω. κατά θ' ἅρματα ἄξω·
οὐδέ κεν ἐς δεκάτους περιτελλομένους ἐνιαυτοὺς
ἕλκε' ἀπαλθήσεσθον. ἅ κεν μάρπτῃσι κεραυνός.
※ ὄφρ' εἰδῇ γλαυκῶπις ὅτ' ἂν ᾧ πατρὶ μάχηται.
※ Ἥρῃ δ' οὔ τι τόσον νεμεσίζομαι οὐδὲ χολοῦμαι.
※ αἰεὶ γάρ μοι ἔωθεν ἐνικλᾶν ὅττι νοήσω·
ὣς ἔφατ', ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα.
> πρώτῃσιν δὲ πύλῃσι πολυπτύχου Οὐλύμποιο
ἀντομένη κατέρυκε. Διὸς δέ σφ' ἔννεπε μῦθον·
πῇ μέματον· τί σφῶϊν ἐνὶ φρεσὶ μαίνεται ἦτορ·
οὐκ ἐάαι Κρονίδης ἐπαμυνέμεν Ἀργείοισιν·
ὧδε γὰρ ἠπείλησε Κρόνου πάϊς. εἰ τελέει περ·
γυιώσειν μὲν σφῶϊν ὑφ' ἅρμασιν ὠκέας ἵππους.
αὐτὰς δ' ἐκ δίφρου βαλέειν. κατά θ' ἅρματα ἄξειν·
οὐδέ κεν ἐς δεκάτους περιτελλομένους ἐνιαυτοὺς
ἕλκε' ἀπαλθήσεσθον. ἅ κεν μάρπτῃσι κεραυνός·
— ὄφρ' εἰδῇς γλαυκῶπι ὅτ' ἂν σῷ πατρὶ μάχηαι.
— Ἥρῃ δ' οὔ τι τόσον νεμεσίζεται. οὐδὲ χολοῦται·
— αἰεὶ γάρ οἱ ἔωθεν ἐνικλᾶν ὅττι νοήσῃ·
— ἀλλὰ σύ γ' αἰνοτάτη. κύον ἀδδεές. εἰ ἐτεόν γε
— τολμήσεις Διὸς ἄντα πελώριον ἔγχος ἀεῖραι·
ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πόδας ὠκέα Ἶρις.

ἡ καὶ καὶ τὸ τετελεσμένον ἔσται:-

ἕλκε' ἀπαλθήσεσθον: ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου ἕλκε' ἀπαλθήσονται· καὶ μήποτε κρεῖττον τὰ ἕλκη ἀπαλθήσονται:- ὄφρ' εἰδῇ· ὅτι τῷ τοῦ Διὸς προσώπῳ ἁρμόζουσιν οἱ λόγοι, τῷ δὲ τῆς Ἴριδος οὐκέτι:-

αἰεὶ γάρ μοι ἔωθεν ἐνικλᾶν ὅττι νοήσω· ἐνικλᾶν ἐμποδίζειν· ἡ μεταφορὰ ἀπὸ τῶν εἰς τὰ ... ἀποθραυομένων δὲ ... οὕτως δὲ Ἀρίσταρχος ... κατακάμπτειν καὶ ... τὰ ὑπ' ἐμοῦ εἰρημένα ... ὅτι καὶ εἰπεῖν γέγραπται:-

ἀελλόπος· κατέλειψεν τὸ υ ἀελλόπους· ταχεῖα ἀέλλαις κατὰ τὸ τάχος παραπλησία:-

πρώτῃσιν δὲ πύλῃσιν: ὅτι ... ἁρμόζουσιν. ἀλλ' ἄρτι τοῦ ἄκρου ... ἄρτι τοῦ ἄκρου:-

εἰ τελέει περ: εἰ ἀντὶ τοῦ ᾗ· σύμφωνον τῷ ὧδε γὰρ ἐξερέω τὸ δὲ καὶ τετελεσμένον ἔσται. οἱ δὲ Ἀριστάρχου διὰ τοῦ η, ᾗ τελέει περ. καὶ γὰρ ὁ Ζεὺς φησί· τὸ δὲ καὶ τετελεσμένον ἔσται:-

ἀρίσταρχος ἐπεὶ ...

ἀρίσταρχος διὰ τοῦ η τελέει περ:

... ἀδδεὲς ... ἀρίσταρχος

ὄφρ' εἰδῇς γλαυκῶπι: ἀθετοῦνται στίχοι πέντε, ὅτι ἐκ τῶν ἐπάνω ... οὐκέτι ὁ Ζεὺς καὶ ἀποσυνίσταται ... εἰκὸς ... τὸ τῆς Ἴριδος μετακεῖνται ... εἰπεῖν πρόσωπον· οὐ γὰρ ἂν εἴποι κύον ἀδδεές:-

βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον.

÷ τῶν· ἄλλος μὲν ἀποφθείσθω· ὁ ταρ[illegible] ἀξίαν ἀτ[illegible]ίσηι. τ[illegible] θεῶν. τὸ γὰρ αἰτιᾶσθαι τοὺς [illegible] θνητοὺς οὐδὲ ἀξιομεῖς περιμεμψιμοιρίαν· ὅταν δὲ [illegible] τὴν ποιητικὴν [illegible] τοῖς [illegible] καὶ τὴν ὑπόθεσιν ἐκ τετραδ[illegible] συμμαχίας καὶ θεομαχίας [illegible]·

αὐτὰρ ἀθηναίην ἥρη πρὸς μῦθον ἔειπεν·
ὢ πόποι αἰγιόχοιο διὸς τέκος· οὐκέτ' ἐῶμεν
νῶϊ διὸς ἄντα βροτῶν ἕνεκα πτολεμίζειν·
τῶν ἄλλος μὲν ἀποφθίσθω· ἄλλος δὲ βιώτω
ὅς κε τύχηι· κεῖνος δὲ τὰ ἃ φρονέων ἐνὶ θυμῶι
τρωσί τε καὶ δαναοῖσι δικαζέτω ὡς ἐπιεικές·
ὣς ἄρα φωνήσασα· πάλιν τρέπε μώνυχας ἵππους·
τῆισιν δ' ὧραι μὲν λῦσαν καλλίτριχας ἵππους·
καὶ τοὺς μὲν κατέδησαν ἐπ' ἀμβροσίηισι κάπηισιν·
ἅρματα δ' ἔκλιναν πρὸς ἐνώπια παμφανόωντα·
αὐταὶ δὲ χρυσέοισιν ἐπὶ κλισμοῖσι κάθιζον
μίγδ' ἄλλοισι θεοῖσι· φίλον τετιημέναι ἦτορ.
ζεὺς δὲ πατὴρ ἴδηθεν ἐΰτροχον ἅρμα καὶ ἵππους
οὔλυμπόνδε δίωκε· θεῶν δ' ἐξίκετο θώκους·
τῶι δὲ καὶ ἵππους μὲν λῦσε κλυτὸς ἐννοσίγαιος·
ἅρματα δ' ἂμ βωμοῖσι τίθει κατὰ λῖτα πετάσσας·
αὐτὸς δὲ χρύσειον ἐπὶ θρόνον εὐρύοπα ζεὺς
ἕζετο· τῶι δ' ὑπὸ ποσσὶ μέγας πελεμίζετ' ὄλυμπος.
αἳ δ' οἶαι διὸς ἀμφὶς ἀθηναίη τε καὶ ἥρη
ἥσθην· οὐδέ τί μιν προσεφώνεον, οὐδ' ἐρέοντο·
αὐτὰρ ὁ ἔγνω ἧισιν ἐνὶ φρεσὶ· φώνησέν τε·
τίφθ' οὕτω τετίησθον ἀθηναίη τε καὶ ἥρη·
οὐ μέν θην κάμετόν γε μάχηι ἔνι κυδιανείρηι,
ὀλλῦσαι τρῶας· τοῖσιν κότον αἰνὸν ἔθεσθε·
πάντως οἷον ἐμόν γε μένος καὶ χεῖρες ἄαπτοι.

κάπηισιν: φάτναις [illegible] ταῖς καὶ μὲν [illegible] τοὺς ἵππους καὶ [illegible] ὁ [illegible]·

πρὸς ἐνώπια παμφανόωντα· [illegible] πρόσωπα· [illegible] παμφανόωντα. [illegible] ὄχημα ἅρμα [illegible]·

ἐνώπια παμφανόωντα· τοὺς παριδίους τοίχους, οὕτω γὰρ [illegible] τοὺς ἀριστεροὺς [illegible] τοὺς ἡ [illegible] ἅρματα παμφανόωντα οὐκ [illegible]·

οὔλυμπόνδε δίωκε· [illegible] κυρίως διώκειν λέγεται, ὅταν προφεύγοντος [illegible] τοσοῦτον [illegible]·

ἅρματα δ' ἂμ βωμοῖσι· χρυσίπποις [illegible] προ[illegible]· [illegible]

κατὰ λῖτα: [illegible]

ἀντὶ τοῦ ἐκπάντος τρόπον οὐ κάμετε [illegible]·

[illegible] πτερὸν [illegible]

ἀθηναίη: οὐ μέν θην: τινὲς ἐνεργητικῶς [illegible] προτέρου [illegible] μάχης οἷον οὐ κατήρκεσε [illegible]· οὐ μέν θην κάμετόν γε: [illegible] κάμετον [illegible]. πρὸς τὸ πρόσωπον [illegible]· ὁ καὶ συμφορά:- αἳ δ' οἶαι διὸς· προ[illegible] καθ' ἑκάτερον [illegible] τοῦ διὸς ἥρα[illegible]· πάντως οἷον ἐμόν γε μέν [illegible] καὶ [illegible] τῆι καὶ τῆι ὑπάρχει [illegible] ὑπὸ πάντων τῶν θεῶν [illegible] καταγωνισθῆναι:-

οὐκ ἄμ με τρέψειαν ὅσοι θεοί εἰσ' ἐν ὀλύμπῳ·
σφῶϊν δὲ, πρίν περ τρόμος ἔλλαβε φαίδιμα γυῖα.
πρὶν πόλεμόν τ' ἰδέειν· πολέμοιό τε μέρμερα ἔργα·
ὧδε γὰρ ἐξερέω· τὸ δὲ κεν τετελεσμένον ἦεν·
οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων· πληγέντε κεραυνῷ.
ἂψ ἐς ὄλυμπον ἵκεσθον· ἵν' ἀθανάτων ἕδος ἐστίν.
ὣς ἔφατ'· αἱ δ' ἐπέμυξαν ἀθηναίη τε καὶ ἥρη.
πλησίαι αἵ γ' ἥσθην· κακὰ δὲ τρώεσσι μεδέσθην.
ἤτοι ἀθηναίη ἀκέων ἦν· οὐδέ τι εἶπε
σκυζομένη διῒ πατρί· χόλος δέ μιν ἄγριος ἥρει·
ἥρῃ δ' οὐκ ἔχαδε στῆθος χόλον· ἀλλὰ προσηύδα·
αἰνότατε κρονίδη· ποῖον τὸν μῦθον ἔειπες·
※ εὖ νυ καὶ ἡμεῖς ἴδμεν, ὅ τοι σθένος οὐκ ἀλαπαδνόν·
※ ἀλλ' ἔμπης δαναῶν ὀλοφυρόμεθ' αἰχμητάων
※ οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα ζεύς·
ἠοῦς δὴ καὶ μᾶλλον ὑπερμενέα κρονίωνα
ὄψεαι αἴ κ' ἐθέλῃσθα βοῶπις πότνια ἥρη
ὀλλύντ' ἀργείων πουλὺν στρατὸν αἰχμητάων:
οὐ γὰρ πρὶν πολέμου ἀποπαύσεται ὄβριμος ἕκτωρ.
πρὶν ὄρθαι παρὰ ναῦφι ποδώκεα πηλείωνα
— ἤματι τῷ· ὅτ' ἂν οἱ μὲν ἐπὶ πρύμνῃσι μάχωνται
— στείνει ἐν αἰνοτάτῳ· περὶ πατρόκλοιο θανόντος.
ὣς γὰρ θέσφατόν ἐστι· σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω
χωομένης· οὐδ' εἴ κε, τὰ νείατα πείραθ' ἵκηαι

ἐν ἄλλῳ· καί κεν τετελεσμένον ἔπλεν:

ἀντὶ τοῦ πληγεῖσαι:

ὁ δὲ ἀντὶ τοῦ αἱ ἀκέουσα

παρὰ τὸ ἐπεισάγειν τὸ ἐπισκύνιον:

ἤτοι οὐκ ἐπιεικτόν:

τὸ ἐντεῦθεν ἄνω μετάκειται

ἀλλὰ καὶ περισσῶς ὑπερμενῆ ἀντὶ τοῦ ἀνδρί:

ἐν ἄλλῳ· ἢν ἐθέλῃσθα:

ἐγερθῆναι:

ἐπεσόντος:

οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων πληγέντε: τὸ ἀρσενικὸν τὸ δυϊκὸν σχηματίσας πληγέντε ἀντὶ τοῦ πληγεῖσαι. καὶ ἡσίοδος προλιπόντ' ἀμφοτέρω ἐσσ' αἰδὼς καὶ νέμεσις ἀντὶ τοῦ προλιποῦσαι:-

Ἠοῦς δή: ὁ ζηνόδοτος γράφει ἀοῦς δὴ μᾶλλον ἀντὶ τοῦ ἐπανεῖ· ἔστι δὲ ἡ λέξις ὀχουμένη:

+ πρὶν ὄρθαι: ἀποκοπὴ τοῦ ὄρω κέκλιται. ὁ δὲ ἐστι ἀκόλουθον τὸ ὄρω πρόδηλον εἰς τοῦ ὅτι ἄρεσθαι. ὅς ἐστι πολὺ περιττόν:- στείνει ἐν αἰνοτάτῳ: ἀλεῶνται στίχοι δύο· ὁ δὲ κατὰ τοῦ ἤματι τῷ πλεονασμὸν χρόνου ὑπερβολὴν σημαίνει· τῇ δὲ ἑξῆς ἐστι τὸ φέρε παρὰ τὸν ἀχιλλέα καὶ ἀλκειμώτερον οὐκ ἂν φημὶ κατά τι καὶ ἐξαναστήσεται. ἀρκεῖ δὲ πρὶν ὄρθαι παρὰ ναῦφι ποδώκεα πηλείωνα. τοῦτο ἐστὶ φθορὰ [illegible] ἔχει· οὐ γὰρ ἐν τῷ στείνει μάχονται. ἀλλ' [illegible] λέγει τὸ ὑπὸ πολλοῦ πλήθους στενοχωρίαν. αἰνοτάτῳ δὲ τῷ χαλεπωτάτῳ [illegible]:-

γαίης καὶ πόντοιο: δηλοῖ μὲν ὁ ποιητὴς ... συναπολήγει τῇ θαλάσσῃ ... [illegible] ... Διὸς μετὰ τὴν ἀνάληψιν τῆς πατρικῆς βασιλείας ... [illegible] ... Τιτάνων ... Ταρτάρῳ ... [illegible] ... τῷ βασιλεῖ παραδίδωσιν ... ὑπὲρ ἡμᾶς κατημμίσατο ... [illegible]

Ὑπερίονος: τὸ ἐπίθετον ὑπερίονος ... ἐντεῦθεν γὰρ αὐτὸν ... ὑπερίονα ... ὁ ὑπεράνω ἡμῶν ὢν καὶ περιπολῶν τὸν κόσμον· διὰ τοῦτο γὰρ ταῦτα συνῆψε.

γαίης καὶ πόντοιο· ἵν' Ἰαπετός τε Κρόνος τε (εἰς τὸν Τιτάνων)
ἥμενοι οὔτ' αὐγῇς Ὑπερίονος Ἠελίοιο (τοῦ ὑπεριόντος ἡλίου)
τέρποντ' οὔτ' ἀνέμοισι, βαθὺς δέ τε Τάρταρος ἀμφίς·
οὐδ' ἢν ἔνθ' ἀφίκηαι ἀλωμένη, οὔ σευ ἔγωγε
σκυζομένης ἀλέγω, ἐπεὶ οὐ σέο κύντερον ἄλλο.
ὣς φάτο, τὸν δ' οὔ τι προσέφη λευκώλενος Ἥρη.
\> ἐν δ' ἔπεσ' ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο
ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν.
Τρωσὶν μέν ῥ' ἀέκουσιν ἔδυ φάος, αὐτὰρ Ἀχαιοῖς
(πλεονάζει τὸ ἄ, ὁ πολυλιτάνευτος) \> ἀσπασίη τρίλλιστος ἐπήλυθε νὺξ ἐρεβεννή.
Τρώων αὖτ' ἀγορὴν ποιήσατο φαίδιμος Ἕκτωρ
νόσφι νεῶν ἀγαγὼν ποταμῷ ἔπι δινήεντι.
\> ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος. (ἀνεπτυγμένῳ [illegible])
ἐξ ἵππων δ' ἀποβάντες ἐπὶ χθόνα μῦθον ἄκουον.
※ τόν ῥ' Ἕκτωρ ἀγόρευε διίφιλος· ἐν δ' ἄρα χειρὶ
※ ἔγχος ἔχ' ἑνδεκάπηχυ· πάροιθε δὲ λάμπετο δουρὸς
※ αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος θέε πόρκης.
τῷ ὅ γ' ἐρεισάμενος ἔπεα Τρώεσσι μετηύδα· (ἐπεὰ τοῖς Τρωσὶν ἐνταῦθα [illegible])
κέκλυτέ μευ Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι·
νῦν ἐφάμην νῆάς τ' ὀλέσας καὶ πάντας Ἀχαιοὺς
\> ἂψ ἀπονοστήσειν προτὶ Ἴλιον ἠνεμόεσσαν· (τὴν ἀνεμώδη Ἴλιον)
ἀλλὰ πρὶν κνέφας ἦλθε, τὸ νῦν ἐσάωσε μάλιστα
※ Ἀργείους καὶ νῆας ἐπὶ ῥηγμῖνι θαλάσσης.
ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ.
(ὅτι ... [illegible]) \> δόρπά τ' ἐφοπλισόμεσθα· ἀτὰρ καλλίτριχας ἵππους

ἐν δ' ἔπεσ' ὠκεανῷ: ὅτι αὐτὸς ... ὡς ἐκεῖ δύονται καὶ ἐξ ἐκείνου ἀνίσχονται ... οὐκέτι.

ἀσπασίη τρίλλιστος: ὁ πάνυ τριλλίστως ... πολυλιτάνευτος.

ἐν καθαρῷ ὅθι δή: ὅτι ... [illegible]

τὸν ῥ' Ἕκτωρ: ὅτι Ζηνόδοτος περιγράφει ἀπὸ τούτου τοὺς τρεῖς στίχους καὶ τὰ ... [illegible] ... λέγει ... [illegible]

ἐν καθαρῷ ὅθι δὴ νεκύων: ... [illegible] ... ὅπου καθαρὸς ... ἀπὸ τῶν νεκρῶν.

Ἀργείους καὶ νῆας: ὅτι Ζηνόδοτος γράφει ἐπὶ Διὸς ... ἄλλον ἔχουτο ... [illegible] ... πρὸ τεθαμμένων, οὐ γὰρ κατὰ Διὸς ... [illegible]

+ σῖτόν τ' ἐκ μεγάρων: οὐκ ἔστιν ἐπὶ τοῦ σίτου κοινὸν τὸ ἄξεσθαι· οὐδὲ γὰρ τὸν ἄψυχον ἄγεσθαι, φέρεσθαι δὲ μᾶλλον. προσυπακουστέον οὖν τὸ φέρεσθαι

λύσαθ' ὑπὲξ ὀχέων· παρὰ δέ σφισι βάλλετ' ἐδωδήν·
ἐκ πόλιος δ' ἄξεσθε βόας καὶ ἴφια μῆλα
καρπαλίμως· οἶνον δὲ μελίφρονα οἰνίζεσθε,
σῖτόν τ' ἐκ μεγάρων· ἐπὶ δὲ ξύλα πολλὰ λέγεσθε,
ὥς κεν παννύχιοι μέσφ' ἠοῦς ἠριγενείης
καίωμεν πυρὰ πολλά, σέλας δ' εἰς οὐρανὸν ἵκῃ,
μή πως καὶ διὰ νύκτα κάρη κομόωντες Ἀχαιοὶ
φεύγειν ὁρμήσωνται ἐπ' εὐρέα νῶτα θαλάσσης·
μὴ μὰν ἀσπουδί γε νεῶν ἐπιβαῖεν ἕκηλοι,
ἀλλ' ὥς τις τούτων γε βέλος καὶ οἴκοθι πέσσῃ
βλήμενος ἢ ἰῷ ἢ ἔγχεϊ ὀξυόεντι
νηὸς ἐπιθρῴσκων· ἵνα τις στυγέῃσι καὶ ἄλλος
Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύδακρυν ἄρηα.
κήρυκες δ' ἀνὰ ἄστυ Διῒ φίλοι ἀγγελλόντων
παῖδας πρωθήβας πολιοκροτάφους τε γέροντας
λέξασθαι περὶ ἄστυ θεοδμήτων ἐπὶ πύργων·
θηλύτεραι δὲ γυναῖκες ἐνὶ μεγάροισιν ἑκάστη
πῦρ μέγα καιόντων· φυλακὴ δέ τις ἔμπεδος ἔστω,
μὴ λόχος εἰσέλθῃσι πόλιν λαῶν ἀπεόντων.
ὧδ' ἔστω Τρῶες μεγαλήτορες ὡς ἀγορεύω·
— μῦθος δ' ὃς μὲν νῦν ὑγιὴς εἰρημένος ἔστω·
— τὸν δ' ἠοῦς Τρώεσσι μεθ' ἱπποδάμοις ἀγορεύσω.
εὔχομαι ἐλπόμενος Διΐ τ' ἄλλοισίν τε θεοῖσιν
ἐξελάαν ἐνθένδε κύνας κηρεσσιφορήτους·
— οὓς κῆρες φορέουσι μελαινάων ἐπὶ νηῶν.

+ ἀλλ' ὥς τις τούτων γε βέλος: ὅτι βέλος ἀρήιον τὸ τραῦμα ὁμωνύμως τῷ τιτρώσκοντι [illegible] πάντα. Παρμενίσκος δὲ ἐν τῷ α΄ πρὸς Κράτητα ὡς ἀρισταρχείαν γραφὴν προφέρεται· ἀλλ' ὥς τις κείνων γε:—

λέξασθαι περὶ ἄστυ: ὅτι ἀντὶ τοῦ ἐγκοιμηθῆναι. θεοδμήτων δὲ καθὸ ὑπὸ θεῶν ᾠκοδομήθη τὸ τεῖχος τοῦ Ἰλίου:—

θηλύτεραι: αἱ πρὸς τὰ ἀφροδίσια καταφορώτεραι ὡς πρὸς σύγκρισιν τῶν ἀλόγων ζῴων· τὰ μὲν γὰρ ἄλογα ὡρισμένως ἔχει καὶ ἐν ὥραις μίγνυται· αὗται δὲ διηνεκῶς [illegible]:—

μῦθος δ' ὃς: ἀθετοῦνται δύο στίχοι, διότι τῇ λέξει οὐ διήλλακται· καὶ τὸ ὑποτακτικὸν ἄρθρον ἀντὶ προτακτικοῦ παρείληπται, ὃς μὲν ἀντὶ τοῦ ὁ μέν· ὁ γὰρ νοῦς ἐστι τοιοῦτος· περὶ μὲν τῶν νῦν [illegible] κατ' ἐμοὶ ὁ λόγος καὶ οὐ δεῖ παραμένειν [illegible] ὑπὸ τῶν [illegible]:—

εὔχομαι ἐλπόμενος: ὁ Ζηνόδοτος γράφει ἔλπομαι εὔχομαι· οὐ κατὰ τὸ Ἕκτορος ἦθος [illegible] ἐλπίζω εὔχομαι τοῖς θεοῖς· [illegible] γὰρ οἰκεῖον εὔχεσθαι [illegible] μένος καὶ εὔχομαι ἐλπιδοποιούμενος ὑπὸ τοῦ Διὸς [illegible]:—

κηρεσσιφορήτους: συνθέτως ἀνέγνω ὁ Ἀρίσταρχος καὶ οἱ ἄλλοι. ἴσως δὲ ἐπὶ ἁμαρτ[illegible] αὐτοὺς οἷς κῆρες φορέουσιν [illegible] τὰ τοιαῦτα ἁμαρτάνει· οὐ [illegible] κατάρχουσι [illegible] καὶ πάντοτε [illegible] προσέθηκα [illegible] κηρεσσιφορήτους [illegible] ἀρχαῖον [illegible] Ἀρίσταρχος [illegible]:—

οὓς κῆρες φορέουσιν: ἀθετεῖται ὁ στίχος. ἐν γὰρ τοῦ κηρεσσιφορήτους τὸ αὐτὸ [illegible] ὁ Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν αὐτόν:—

εἴσομαι: ὅτι τὸ εἴσομαι πολλὰ σημαίνει· νῦν μὲν γνώσομαι· ἐν ἄλλοις δὲ πορεύσομαι [illegible] ... ἀνρὶ ἢ ἄρητην: [illegible] ... εἰς ἀρετὴν ... [illegible] ... ὁ δίδυμος [illegible] ... τὰ ἀληθῆ:—

ἀλλ' ἤτοι ἐπὶ νυκτὶ φυλάξομεν ἡμέας αὐτούς·
πρωῒ δ' ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες.
νηυσὶν ἐπὶ γλαφυρῇσιν ἐγείρομεν ὀξὺν ἄρηα·
> εἴσομαι εἴ κέ μ' ὁ τυδεΐδης κρατερὸς διομήδης
πὰρ νηῶν πρὸς τεῖχος ἀπώσεται· ἦ κεν ἐγὼ τὸν
χαλκῷ δηιώσας, ἔναρα βροτόεντα φέρωμαι·
> αὔριον ἣν ἀρετὴν διαείσεται· εἴ κ' ἐμὸν ἔγχος
> μείνῃ ἐπερχόμενον· ἀλλ' ἐν πρώτοισιν ὀΐω
> κείσεται οὐτηθείς· πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι
· ἠελίου ἀνιόντος ἐς αὔριον· εἰ γὰρ ἐγὼν ὣς
· εἴην ἀθάνατος καὶ ἀγήρως ἤματα πάντα
· τιοίμην δ' ὡς τίετ' ἀθηναίη καὶ ἀπόλλων·
ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει ἀργείοισιν·
ὣς ἕκτωρ ἀγόρευ'· ἐπὶ δὲ τρῶες κελάδησαν·
οἳ δ' ἵππους μὲν λῦσαν ὑπὸ ζυγοῦ ἱδρώοντας·
δῆσαν δ' ἱμάντεσσι παρ' ἅρμασιν οἷσιν ἕκαστος·
ἐκ πόλιος δ' ἄξαντο βόας καὶ ἴφια μῆλα
καρπαλίμως· οἶνον δὲ μελίφρονα οἰνίζοντο
σῖτόν τ' ἐκ μεγάρων· ἐπὶ δὲ ξύλα πολλὰ λέγοντο·
κνίσην δ' ἐκ πεδίου ἄνεμοι φέρον οὐρανὸν εἴσω·
οἳ δὲ μέγα φρονέοντες ἐπὶ πτολέμοιο γεφύρας
εἵατο παννύχιοι· πυρὰ δέ σφισι καίετο πολλά·
> ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα φαεινὴν ἀμφὶ σελήνην
φαίνετ' ἀριπρεπέα· ὅτε τ' ἔπλετο νήνεμος αἰθήρ·
※— ἔκ τ' ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι·

εἰ γὰρ ἐγὼν ὥς: [illegible] ... ἀθάνατος καὶ ἀγήρως: [illegible]
ἐπὶ δὲ τρῶες κελάδησαν: [illegible]
ἐκ πόλιος δ' ἄξαντο: [illegible]
οἱ δὲ μέγα φρονέοντες ἐπὶ πτολέμοιο γεφύρας: [illegible] ... πολεμίους ... [illegible] ... τὸν πόλεμον:—

ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα φαεινὴν ἀμφὶ σελήνην: οὕτως [illegible] ...
ἔκ τ' ἔφανεν πᾶσαι: [illegible] ... πατρόκλου ... [illegible] ... ἐπὶ τῶν ἀριστέων [illegible]:—
πρώονες: [illegible]:—

Ἐξεσίη Ἀχιλῆος ἀπειθέος ἐστὶν ἰῶτα:

τόσσα μεσηγὺ νεῶν: [illegible]

χίλι' ἄρ': [illegible]

εἴατο πεντήκοντα σέλαι πυρός: [illegible]

καὶ νάπαι· οὐρανόθεν δ' ἄρ' ὑπερράγη ἄσπετος αἰθήρ·
πάντα δὲ εἴδεται ἄστρα, γέγηθε δέ τε φρένα ποιμήν·
τόσσα μεσηγὺ νεῶν ἠδὲ Ξάνθοιο ῥοάων
Τρώων καιόντων πυρὰ φαίνετο Ἰλιόθι πρό.
χίλι' ἄρ' ἐν πεδίῳ πυρὰ καίετο, πὰρ δὲ ἑκάστῳ
εἴατο πεντήκοντα σέλαι πυρὸς αἰθομένοιο.
ἵπποι δὲ κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας
ἑσταότες παρ' ὄχεσφιν ἐΰθρονον Ἠῶ μίμνον.

παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τῶν Νικάνορος περὶ στιγμῆς.

Θ

ΙΛΙΑΔΟΣ Ι

Ὣς οἱ μὲν Τρῶες φυλακὰς ἔχον· αὐτὰρ Ἀχαιοὺς
θεσπεσίη ἔχε φύζα, φόβου κρυόεντος ἑταίρη,
πένθεϊ δ' ἀτλήτῳ βεβολήατο πάντες ἄριστοι.
ὡς δ' ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα
Βορέης καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον
ἐλθόντ' ἐξαπίνης· ἄμυδις δέ τε κῦμα κελαινὸν
κορθύεται, πολλὸν δὲ παρὲξ ἅλα φῦκος ἔχευεν·
ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν.
Ἀτρεΐδης δ' ἄχεϊ μεγάλῳ βεβολημένος ἦτορ

Ἡ ἐπιγραφὴ τῆς Ἰλιάδος: [illegible]

Ὣς οἱ μὲν Τρῶες φυλακὰς ἔχον: [illegible]

θεσπεσίη ἔχε φύζα: [illegible]

πένθεϊ δ' ἀτλήτῳ βεβολήατο: [illegible]

ὡς δ' ἄνεμοι δύο: [illegible]

μθ

Βορέης καὶ Ζέφυρος: [illegible]

[illegible]

ἵστατο δάκρυ χέων· ὅτι Ζηνόδοτος γράφει μετ' Ἀργείοισιν ἔειπεν· ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες· παρὰ τὴν κατὰ τὴν παράδοσιν ἀμφιβολία δὲ ἐστὶν εἰς αὔξησιν: — μελάνυδρος· πολὺ ὕδωρ. φύσει γὰρ μέλαν τὸ ὕδωρ, ἀλλὰ μὴ ἐπεὶ ταῖς ἡλιακαῖς αὐγαῖς ἀνταυγεῖ τοῦτο πάθει. τοῦ γὰρ μελαίνεσθαι αἴτιον τὸ πάθος: — αἰγίλιπος· ἧς ἂν καὶ αἶγες ἀπολείπωνται διὰ τὸ ὕψος καὶ δύσβατον. ἐν γὰρ τοῖς κρημνοῖς αἱ αἶγες ὡς ἐπίπαν νέμονται· ἡ παραβολὴ πρὸς τὸ πλῆθος τῶν δακρύων εἴληπται καὶ τῶν στεναγμῶν: — ὣς ὃ βαρὺ στενάχων· ὅτι τινὲς γράφουσιν ὣς ὃ γε δακρυχέων. διὰ τὸ ἀκαταλλήλως πρὸς τὰ διὰ κενὰ τὸ στενάχων ἀποδεδόσθαι. ἔστι γὰρ ἐν τοῖς τῆς λέξεως δακρύειν ἀπὸ τοῦ προηγουμένου: — ὦ φίλοι Ἀργείων· ἡ διπλῆ ὅτι ἐνθάδε γραπτέον· πρὸ γὰρ τοῖς ἀρίστοις οὐ πρὸς τὸ πλῆθος ὁ λόγος. ὅταν δὲ ἀποτείνηται πρὸς τὸ πλῆθος, προσφυέστερον γράφειν ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος. διασταλτέον δὲ ἐπὶ τὸ φίλοι διὰ τὰ ἀντεμφάσιν. ἑαυτοῦ μὲν γὰρ φίλους, Ἀργείων δὲ ἡγήτορας αὐτοὺς λέγει: —

ἐπίει

φοιτᾶν, κηρύκεσσι λιγυφθόγγοισι κελεύων

καλοῦντας κηρύσσοντας:

τοὺς ἀρίστους δηλονότι:

κλήδην εἰς ἀγορὴν κικλήσκειν ἄνδρα ἕκαστον.

> μηδὲ βοᾶν. αὐτὸς δὲ μετὰ πρώτοισι πονεῖτο.

εἰς ... ἐνεργῶν

ἷζον δ' εἰν ἀγορῇ τετιηότες· ἂν δ' Ἀγαμέμνων

> ἵστατο δάκρυ χέων ὥστε κρήνη μελάνυδρος.

μελαν

ἥτε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ.

> ὣς ὃ βαρὺ στενάχων ἔπε' Ἀργείοισι μετηύδα·

> ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες.

ἀριστερὸν ἢ τὸ μέγας: —

ἀριστερὸς ὅτι μέν μοι:

> Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ.

> σχέτλιος· ὃς πρὶν μέν μοι, ὑπέσχετο καὶ κατένευσεν

ἴλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι.

νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο. καί με κελεύει

δυσκλέα Ἄργος ἱκέσθαι. ἐπεὶ πολὺν ὤλεσα λαόν.

[illegible]

※ — οὕτω που Διὶ μέλλει ὑπερμενεῖ φίλον εἶναι.

※ — ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα

※ — ἠδ' ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.

ἀλλ' ἄγεθ'· ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.

φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.

οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν.

> ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·

ἄπνοοι ἄφωνοι

> δὴν δ' ἄνεῳ ἦσαν τετιηότες υἷες Ἀχαιῶν.

λυπούμενοι

> ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης.

ἀφρονοῦντι

Ἀτρεΐδη· σοὶ πρῶτα μαχήσομαι ἀφραδέοντι

μάχομαι

ἣ θέμις ἐστὶν ἄναξ ἀγορῇ. σὺ δὲ μή τι χολωθῇς.

ἀριστερὸς ἀλλὰ τὸ μαχέσαι

> ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσι

τοῖς ἐν Δαναοῖς εἰς ἴσως τίς ἀξιώσει τοῖς ἐξῆς συνάπτειν ἄλλον κατέπειγει: —

ὁ τῶν καταστάσεων πολλὰς πλητικῶς εἰρημένων μέμνηται: —

οὐ βαρὺ στενάχων· ὅτι τινὲς γράφουσιν ὣς ὃ γε ... ἀπὸ ...

Ζεύς με μέγα· ὅτι μεγάλως μεγάλην ἀντὶ τοῦ μεγάλως ὁ ... ἀδοκιμάζει πάνυ ἢ μετὰ τοῦ σ μέγας: —

σχέτλιος· ὅτι νῦν γραπτέον ὃς τότε μέν μοι ἀναφέρει γὰρ ἐπὶ τὸ πρόσθεν κατὰ τὸν Ὅμηρον. ἐν ἐκείνοις μέντοι ὃς πρὶν μέν μοι λέγομεν ἀναφέρονται τὰ κατὰ τὸ πρὸς τὸ ἔξω τῆς ἐπιδημίας: —

οὕτω που Διὶ μέλλει· ἀθετοῦνται στίχοι τρεῖς· ὅτι Ἀγαμέμνονα ταῦτα λέγειν ἐν τῇ διαπείρᾳ. νῦν δὲ ἀκαταπείραστα. ἀλλὰ πείθεται πρὸς ... ἀληθῶς λέγει ... κυρητικοῖς τοῦ Διὸς ἐλατηρίασιν: —

ὣς ἔφαθ'· ὅτι Ζηνόδοτος ἤρκεσε τοῖς στίχοις προσοίδεν ἀμφικαίοι. ἀλλ' ἕνεκα τοῦ καταλόγου γέγονε ἐνθάδε· τοιοῦτος δὲ ἐστὶν ἐπὶ τῶν διφορουμένων· τὴν δὲ σιωπὴν ἐσώσαμεν οὕτως ποιεῖ δυσκλέα Ἄργος ἱκέσθαι ἤτοι ὅ γ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο θυμὸν ἀχεύων· τοῖσι δ' ἀνιστάμενος μετέφη κρατερὸς Διομήδης: — ἀκήν· ἡσυχία ἐστίν. οἱ γὰρ ὑπερκάμνοντες θαυμασμοὶ ἐκπλήττουσι· πᾶσα δὲ ἔκπληξις σιωπὴν ἐμποιεῖ· ὅθεν καὶ ἀκέων ἀντὶ τοῦ ἐκπλαγείς. καὶ ἄχθος ἐστὶ παρ' αὐτὴν ἀχαρίαν: — ἣ θέμις· ὡς νόμος ἐστὶν ἐν ἐκκλησίᾳ τοῦ βουλομένου ἀκωλύτως λέγειν ὡς ἀνὴρ ἐν δήμῳ κρατεῖ. ἐπὶ δὲ τὸ ἀγορῇ στικτέον· ὡς νόμος ἐστὶν ἐκκλησίας μετὰ παρρησίας λέγειν· στικτέον μέχρι φασὶν ἐπὶ τὸ ἄναξ διαστολήν: — ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας· περὶ τῶν ἀμέσως μου ὀνειδίσας ἐν τοῖς ἐλλήνοισιν ὡς ἀσθενεστάτου. ἤτοι δὲ ἐνῆν θηλύ λέγειν· τὸ μὲν ... φορὰν ἔχειν ταῦτα ἐπὶ τὸ ῥηθέντα ὑπὸ Ἀγαμέμνονος ἐν τῇ ἐπιπωλήσει· ὤ μοι Τυδέος υἱὲ δαΐφρονος ἱπποδάμοιο τί πτώσσεις: —

Ι